nam quoniam $A > \Gamma$, et alia quaeuis magnitudo est B, et maius ad idem maiorem rationem habet quam minus [prop. VIII], erit $A : B > \Gamma : B$. uerum $A : B = \Delta : E$ et e contrario [prop. VII coroll.]

$$\Gamma : B = Z : E.$$

---

1) Quae praecedunt uerba p. 55, 24—28 immerito ab Simsono aliisque uituperantur; nam ueram continent demonstrationem conuersae rationis. demonstrauimus enim (p. 55, 19) $AB : \Gamma\Delta = EB : Z\Delta$, unde $AB : EB = \Gamma\Delta : Z\Delta$; sed simul erat (p. 55, 12) $BA : AE = \Delta\Gamma : \Gamma Z$; tum u. def. 16. nihilo minus hic locus interpolatus esse uideri potest (sed ante Theonem), quia Euclides numquam corollarii rationem reddit, id quod ipsius uocabuli *πόρισμα* notioni (Proclus in Eucl. p. 301. 303) aduersatur. huic loco similis est interpolatio Theonis post V, 4.

δὲ πρὸς τὸ αὐτὸ λόγον ἐχόντων το μείζονα λόγον ἔχον μεῖζόν ἐστιν. μεῖζον ἄρα τὸ Δ τοῦ Ζ. ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Δ τῷ Ζ, κἂν ἔλαττον, ἔλαττον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον· ὅπερ ἔδει δεῖξαι.

κα΄.

Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.

Ἔστω τρία μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ἔστω δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ε, δι' ἴσου δὲ τὸ Α τοῦ Γ μεῖζον ἔστω· λέγω, ὅτι καὶ τὸ Δ τοῦ Ζ μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον.

---

1. τὸ αὐτο'] αὐτό Bp; in p supra scr. τό. 2. ἐκεῖνο μεῖζον Theon (BFVp). ἐστιν] P; comp. p; ἐστι BFV. μεῖζον] corr. ex μείζων V. 3. τὸ Α] mg. m. rec. F. 4. τό] corr. ex τῷ P. ἔλασσον, ἔλασσον p. 8. ἴσον ἔσται, κἄν P. 9. ἔλασσον, ἔλασσον p. 16. ἔλασσον, ἔλασσον FVp. 17. μεγέθη ἀνάλογον PBFVp; corr. Gregorius. τά] e corr. V m. 2. 19. ἡ] om. B; euan. F; ὡς φ. 22. τὸ Α]


itaque etiam $\Delta : E > Z : E$. eorum autem, quae ad idem rationem habent, maius est, quod maiorem rationem habet [prop. X]. itaque $\Delta > Z$. similiter demonstrabimus, si $A = \Gamma$, esse etiam $\Delta = Z$, et si $A < \Gamma$, esse etiam $\Delta < Z$.

Ergo si datae sunt tres magnitudines et aliae iis numero aequales, binae simul coniunctae et in eadem proportione, ex aequo autem prima tertia maior est, etiam quarta sexta maior erit, et si aequalis, aequalis erit, et si minor, minor; quod erat demonstrandum.

XXI.

Si dătae sunt tres magnitudines et aliae iis numero aequales, binae simul coniunctae et in eadem proportione, et perturbata est earum proportio, et ex aequo prima tertia maior est, etiam quarta sexta maior erit, et si aequalis, aequalis erit, et si minor, minor.

Sint tres magnitudines A, B, Γ et aliae iis numero aequales Δ, E, Z,



binae simul coniunctae et in eadem proportione, et perturbata sit earum proportio, ita ut sit $A : B = E : Z$ et $B : \Gamma = \Delta : E$ [def. 18], et ex aequo sit $A > \Gamma$. dico, esse etiam $\Delta > Z$, et si $A = \Gamma$, esse $\Delta = Z$, et si $A < \Gamma$, esse $\Delta < Z$.

---

corr. ex τοῦ *A* V. 23. κἄν] (alt.) καί P. ἔλασσον, ἔλασσον V.

Ἐπεὶ γὰρ μεῖζόν ἐστι τὸ Α τοῦ Γ, ἄλλο δέ τι τὶ Β, τὸ Α ἄρα πρὸς τὸ Β μείζονα λόγον ἔχει ἤπερ τὸ Γ πρὸς τὸ Β. ἀλλ' ὡς μὲν τὶ Α πρὸς τὸ Β, οὕτως τὸ Ε πρὸς τὸ Ζ, ὡς δὲ τὸ Γ πρὸς τὸ Β, ἀνάπαλιν οὕτως τὸ Ε πρὸς τὸ Δ. καὶ τὸ Ε ἄρα πρὸς τὸ Ζ μείζονα λόγον ἔχει ἤπερ τὸ Ε πρὸς τὸ Δ. πρὸς ὃ δὲ τὸ αὐτὸ μείζονα λόγον ἔχει, ἐκεῖνο ἔλασσόν ἐστιν· ἔλασσον ἄρα ἐστὶ τὸ Ζ τοῦ Δ· μεῖζον ἄρα ἐστὶ τὸ Δ τοῦ Ζ. ὁμοίως δὴ δείξομεν, ὅτι κἂν ἴσον ᾖ τὸ Α τῷ Γ, ἴσον ἔσται καὶ τὸ Δ τῷ Ζ, κἂν ἔλαττον, ἔλαττον.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, δι' ἴσου δὲ τὸ πρῶτον τοῦ τρίτου μεῖζον ᾖ, καὶ τὸ τέταρτον τοῦ ἕκτου μεῖζον ἔσται, κἂν ἴσον, ἴσον, κἂν ἔλαττον, ἔλαττον· ὅπερ ἔδει δεῖξαι.

κβ'.

Ἐὰν ᾖ ὁποσαοῦν μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

Ἔστω ὁποσαοῦν μεγέθη τὰ Α, Β, Γ καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Δ, Ε, Ζ, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ὡς μὲν τὸ Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, ὡς δὲ τὸ Β πρὸς τὸ Γ, οὕτως τὸ Ε πρὸς τὸ Ζ· λέγω, ὅτι καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

---

2. *Α*] supra P. *Β*] seq. ras. 1 litt. V. 7. *ἐκεῖνο*] -ο add. m. 1 p. *ἔλαττον* F. 8. *ἔλασσον*] om. F; *ἔλαττον* B. *ἐστί*] (alt.) om. FV. 9. *ἢ*] om. B. 10. *καί*] om. F. *ἔλασσον, ἔλασσον* Vp. 11. *ἢ*] om. φ. *καί*] *ἢ καί* FV.

nam quoniam $A > \Gamma$, et alia quaedam magnitudo est B, erit $A : B > \Gamma : B$ [prop. VIII]. uerum

$$A : B = E : Z.$$


et e contrario [prop. VII coroll.] $\Gamma : B = E : \Delta$. itaque etiam $E : Z > E : \Delta$. sed ad quod idem maiorem rationem habet, id minus est [prop. X]. itaque $Z < \Delta$. quare $\Delta > Z$. similiter demonstrabimus, si $A = \Gamma$, esse etiam $\Delta = Z$, et si $A < \Gamma$, esse $\Delta < Z$.

Ergo si datae sunt tres magnitudines et aliae iis numero aequales, binae simul coniunctae et in eadem proportione, et perturbata est earum proportio, et ex aequo prima tertia maior est, etiam quarta sexta maior erit, et si aequalis, aequalis erit, et si minor, minor; quod erat demonstrandum.

XXII.

Si datae sunt quotlibet magnitudines et aliae iis numero aequales, binae simul coniunctae et in eadem proportione, etiam ex aequo in eadem proportione erunt.

Sint quotlibet magnitudines A, B, Γ et aliae iis numero aequales Δ, E, Z, binae simul coniunctae in eadem proportione, ita ut sit $A : B = \Delta : E$ et $B : \Gamma = E : Z$. dico, eas etiam ex aequo in eadem proportione fore.[1])



1) H. e. $A : \Gamma = \Delta : Z$ (def. 17).

15. ἔλασσον, ἔλασσον V. 19. καί] om. Bp. 25. τό] (primum) -ό in ras. m. 1 B. 27. ἔσονται Bp. Dein add. Theon: ὡς τὸ *A* πρὸς τὸ *Γ*, οὕτως τὸ *Δ* πρὸς τὸ *Z* (BFVp; om. P).

Εἰλήφθω γὰρ τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, καὶ ἔτι τῶν Γ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Μ, Ν.

Καὶ ἐπεί ἐστιν ὡς το Α πρὸς τὸ Β, οὕτως τὸ Δ πρὸς τὸ Ε, καὶ εἴληπται τῶν μὲν Α, Δ ἰσάκις πολλαπλάσια τὰ Η, Θ, τῶν δὲ Β, Ε ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Κ, Λ, ἔστιν ἄρα ὡς τὸ Η πρὸς τὸ Κ, οὕτως τὸ Θ πρὸς τὸ Λ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ Κ πρὸς τὸ Μ, οὕτως τὸ Λ πρὸς τὸ Ν. ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ τὰ Η, Κ, Μ, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τὰ Θ, Λ, Ν, σύνδυο λαμβανόμενα καὶ ἐν τῷ αὐτῷ λόγῳ, δι' ἴσου ἄρα, εἰ ὑπερέχει τὸ Η τοῦ Μ, ὑπερέχει καὶ τὸ Θ τοῦ Ν, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν Η, Θ τῶν Α, Δ ἰσάκις πολλαπλάσια, τὰ δὲ Μ, Ν τῶν Γ, Ζ ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια. ἔστιν ἄρα ὡς τὸ Α πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Ζ.

Ἐὰν ἄρα ᾖ ὁποσαοῦν μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος, σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται· ὅπερ ἔδει δεῖξαι.

κγ′.

Ἐὰν ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται.

---

2. δέ] om. p. In F in hac pag. complura euan. ᾱ̃] om. F? 3. ᾱ̃] om. F. 5. πρὸς τό] in ras. p. 7. δέ] m. rec. p. ᾱ̃] m. 2 F. 9. πρός] om. φ. 12. τὰ Θ, Λ, Ν] om. p; m. 2 V; mg. m. rec. B. 15. ἔλασσον, ἔλασσον p.

Sumantur enim magnitudinum A, Δ aeque multiplices H, Θ, et magnitudinum B, E aliae quaeuis aeque multiplices K, Λ et praeterea magnitudinum Γ, Z aliae quaeuis aeque multiplices M, N. et quoniam est $A : B = \Delta : E$, et sumptae sunt magnitudinum A, Δ aeque multiplices H, Θ et magnitudinum B, E aliae quaeuis aeque multiplices K, Λ, erit $H : K = \Theta : \Lambda$ [prop. IV]. eadem de causa etiam $K : M = \Lambda : N$. iam quoniam datae sunt tres magnitudines H, K, M et aliae iis numero aequales Θ, Λ, N, binae simul coniunctae et in eadem proportione, ex aequo, si H magnitudinem M superat, etiam Θ magnitudinem N superat, et si aequalis, aequalis est, et si minor, minor [prop. XX]. et H, Θ magnitudinum A, Δ aeque multiplices sunt, M, N autem magnitudinum Γ, Z aliae quaeuis aeque multiplices. itaque $A : \Gamma = \Delta : Z$ [def. 5].

Ergo si datae sunt quotlibet magnitudines et aliae iis numero aequales, binae simul coniunctae in eadem proportione, etiam ex aequo in eadem proportione erunt; quod erat demonstrandum.

XXIII.

Si datae sunt tres magnitudines et aliae iis numero aequales binae simul coniunctae in eadem proportione, et perturbata est earum proportio, etiam ex aequo in eadem proportione erunt.

---

16. $\bar{\alpha}$] m. 2 F. 18. Γ] in ras. m. 2 P. Δ] in ras. m. 2 P. Post Z in P add. *καὶ ἐναλλὰξ* (*ἄρα ἐστίν* mg. m. 1) *ὡς τὸ A πρὸς τὸ Δ* (in ras. m. 2), *οὕτως τὸ Γ* (in ras. m. 2) *πρὸς τὸ* Z. 23. $\bar{\eta}$] om. p; m. 2 B. 24. Supra *ἐν* add. *καί* F. 26. *ἔσονται* BFVp.

Ἔστω τρία μεγέθη τὰ A, B, Γ καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ τὰ Δ, E, Z, ἔστω δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν τὸ A πρὸς τὸ B, οὕτως τὸ E πρὸς τὸ Z, ὡς δὲ τὸ B πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ E· λέγω, ὅτι ἐστὶν ὡς τὸ A πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ Z.


Εἰλήφθω τῶν μὲν A, B, Δ ἰσάκις πολλαπλάσια τὰ H, Θ, K, τῶν δὲ Γ, E, Z ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, M, N.

Καὶ ἐπεὶ ἰσάκις ἐστὶ πολλαπλάσια τὰ H, Θ τῶν A, B, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ A πρὸς τὸ B, οὕτως τὸ H πρὸς τὸ Θ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ E πρὸς τὸ Z, οὕτως τὸ M πρὸς τὸ N· καί ἐστιν ὡς τὸ A πρὸς τὸ B, οὕτως τὸ E πρὸς τὸ Z· καὶ ὡς ἄρα τὸ H πρὸς τὸ Θ, οὕτως τὸ M πρὸς τὸ N. καὶ ἐπεί ἐστιν ὡς τὸ B πρὸς τὸ Γ, οὕτως τὸ Δ πρὸς τὸ E, καὶ ἐναλλὰξ ὡς τὸ B πρὸς τὸ Δ, οὕτως τὸ Γ πρὸς τὸ E. καὶ ἐπεὶ τὰ Θ, K τῶν B, Δ ἰσάκις ἐστὶ πολλαπλάσια, τὰ δὲ μέρη τοῖς ἰσάκις πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ B πρὸς τὸ Δ, οὕτως τὸ Θ πρὸς τὸ K. ἀλλ᾽ ὡς τὸ B πρὸς τὸ Δ, οὕτως τὸ Γ πρὸς τὸ E· καὶ ὡς ἄρα τὸ Θ πρὸς τὸ K, οὕτως τὸ Γ πρὸς τὸ E. πάλιν, ἐπεὶ τὰ Λ, M τῶν Γ, E ἰσάκις ἐστὶ πολλαπλάσια, ἔστιν ἄρα ὡς τὸ Γ πρὸς τὸ E, οὕτως τὸ Λ πρὸς τὸ M. ἀλλ᾽ ὡς τὸ Γ

---

2. Supra *ἐν* add. *καί* m. 2 F. 3. *τετεταραγμένη* P, sed corr. 7. *Δ*] e corr. p. 8. *ἃ ἔτυχεν*] mg. m. 2 post lacunam 5 litt. F. 10. *H*] post ras. 1 litt. F. 12. *καί ἐστιν* F. 14. *οὕτως*] *καί* B; om. p. 15. *οὕτως*] om BVp. Post hoc uerbum rep. F lin. 13: *τὸ H* — 15: *τὸ B*. 16. *οὕτως*]

Sint tres magnitudines A, B, Γ et aliae iis numero aequales binae simul coniunctae in eadem proportione Δ, E, Z, et perturbata sit



earum proportio, ita ut sit $A : B = E : Z$, et $B : \Gamma = \Delta : E$ [def. 18]. dico, esse $A : \Gamma = \Delta : Z$.

sumantur magnitudinum A, B, Δ aeque multiplices H, Θ, K et magnitudinum Γ, E, Z aliae quaeuis aeque multiplices Λ, M, N. et quoniam H, Θ magnitudinum A, B aeque multiplices sunt, partes autem et aeque multiplices eandem rationem habent, erit $A : B = H : \Theta$ [prop. XV]. eadem de causa erit $E : Z = M : N$. et $A : B = E : Z$. itaque etiam $H : \Theta = M : N$ [prop. XI]. et quoniam $B : \Gamma = \Delta : E$, etiam permutando erit $B : \Delta = \Gamma : E$ [prop. XVI]. et quoniam Θ, K magnitudinum B, Δ aeque multiplices sunt, partes autem et aeque multiplices eandem rationem habent, erit

$$B : \Delta = \Theta : K \text{ [prop. XV].}$$

uerum est $B : \Delta = \Gamma : E$. itaque etiam

$$\Theta : K = \Gamma : E \text{ [prop. XI].}$$

rursus quoniam Λ, M magnitudinum Γ, E aeque multiplices sunt, erit $\Gamma : E = \Lambda : M$ [prop. XV]. uerum

---

om. BFVp. 17. *οὕτως*] om. BFVp. 18. Post *E* add. *καὶ εἴληπται τῶν μὲν B, Δ ἰσάκις πολλαπλάσια τὰ Θ, K τῶν δὲ Γ, E ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια τὰ Λ, M, ἔστιν ἄρα ὡς τὸ Θ πρὸς τὸ Λ, οὕτως τὸ K πρὸς τὸ M* Bp et V mg. m. 2. 18. *ὡς*] om. F. *B*] seq. ras. 3 litt. F. *οὕτως*] om. BFVp. 19. *B, Δ*] in ras. p. 21. *οὕτως*] om. FV. 22. *οὕτως*] om. BFVp. 23. *ὡς ἄρα τὸ Θ*] in ras. m. 2 V. 24. *οὕτως*] om. BFVp. 26. *οὕτως*] om. F.

πρὸς τὸ *E*, οὕτως τὸ *Θ* πρὸς τὸ *K*· καὶ ὡς ἄρα το *Θ* πρὸς τὸ *K*, οὕτως τὸ *Λ* πρὸς τὸ *M*, καὶ ἐναλλὰξ ὡς τὸ *Θ* πρὸς τὸ *Λ*, τὸ *K* πρὸς τὸ *M*. ἐδείχθη δὲ καὶ ὡς τὸ *H* πρὸς τὸ *Θ*, οὕτως τὸ *M* πρὸς τὸ *N*. ἐπεὶ οὖν τρία μεγέθη ἐστὶ τὰ *H*, *Θ*, *Λ*, καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος τα *K*, *M*, *N* σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, καί ἐστιν αὐτῶν τεταραγμένη ἡ ἀναλογία, δι᾽ ἴσου ἄρα, εἰ ὑπερέχει τὸ *H* τοῦ *Λ*, ὑπερέχει καὶ τὸ *K* τοῦ *N*, καὶ εἰ ἴσον, ἴσον, καὶ εἰ ἔλαττον, ἔλαττον. καί ἐστι τὰ μὲν *H*, *K* τῶν *A*, *Δ* ἰσάκις πολλαπλάσια, τὰ δὲ *Λ*, *N* τῶν *Γ*, *Z*. ἔστιν ἄρα ὡς τὸ *A* πρὸς τὸ *Γ*, οὕτως τὸ *Δ* πρὸς τὸ *Z*.

Ἐὰν ἄρα ᾖ τρία μεγέθη καὶ ἄλλα αὐτοῖς ἴσα τὸ πλῆθος σύνδυο λαμβανόμενα ἐν τῷ αὐτῷ λόγῳ, ᾖ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ δι᾽ ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσται· ὅπερ ἔδει δεῖξαι.

κδ′.

Ἐὰν πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον.

---

2. οὕτως] om. BFVp. Hic quoque nonnulla in F ita euanuerunt, ut legi non possint. 4. καί] supra V. οὕτως] om. BFVp. 5. ἐστὶν ἀνάλογον Theon (BFVp). ἄλλα] supra F. 7. Ante ἐν m. 2 insert. καί F, in quo hic nonnulla sustulit resarcinatio. 8. ᾖ] om. P. 10. ἔλασσον, ἔλασσον BVp. 11. *Λ*, *N* τῶν *Γ*, *Z*] in mg. transeunt m. 1, seq. in mg. ἄλλα ἃ ἔτυχεν ἰσάκις, dein in textu πολλαπλάσια F;

$\Gamma : E = \Theta : K$. quare etiam $\Theta : K = \Lambda : M$ [prop. XI], et permutando [prop. XVI] $\Theta : \Lambda = K : M$. sed demonstratum est, esse etiam $H : \Theta = M : N$. iam quoniam datae sunt tres magnitudines H, Θ, Λ et aliae iis numero aequales K, M, N, binae simul coniunctae in eadem proportione, et perturbata est earum proportio [def. 18], ex aequo, si H magnitudinem Λ superat, etiam K magnitudinem N superat, et si aequalis, aequalis est, et si minor, minor [prop. XXI]. et H, K magnitudinum A, Δ aeque multiplices sunt, Λ, N autem magnitudinum Γ, Z. itaque $A : \Gamma = \Delta : Z$ [def. 5].

Ergo si datae sunt tres magnitudines et aliae iis numero aequales, binae simul coniunctae in eadem proportione, et perturbata est earum proportio, etiam ex aequo in eadem proportione erunt; quod erat demonstrandum.

XXIV.

Si prima ad secundam eandem rationem habet ac tertia ad quartam, et etiam quinta ad secundam eandem rationem habet ac sexta ad quartam, etiam compositae prima et quinta ad secundam eandem rationem habebunt ac tertia sextaque ad quartam.

ἰσάκις πολλαπλάσια add. Bp. 12. *Γ*] corr. ex *B* m. 2 P. 14. *καὶ ἐν* P; *καί* add. in mg. m. 2 F, sed euan. 16. *ἔσται*] om. P. 18. *ἕξῃ*] *ἕξει* P.


Πρῶτον γὰρ τὸ AB πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν ἐχέτω λόγον καὶ τρίτον τὸ ΔE πρὸς τέταρτον τὸ Z, ἐχέτω δὲ καὶ πέμπτον τὸ BH πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν λόγον καὶ ἕκτον τὸ EΘ πρὸς τέταρτον τὸ Z· λέγω, ὅτι καὶ συντεθὲν πρῶτον καὶ πέμπτον τὸ AH πρὸς δεύτερον τὸ Γ τὸν αὐτὸν ἕξει λόγον, καὶ τρίτον καὶ ἕκτον τὸ ΔΘ πρὸς τέταρτον τὸ Z.

Ἐπεὶ γάρ ἐστιν ως τὸ BH πρὸς τὸ Γ, οὕτως τὸ EΘ πρὸς τὸ Z, ἀνάπαλιν ἄρα ὡς το Γ πρὸς τὸ BH, οὕτως τὸ Z πρὸς τὸ EΘ. ἐπεὶ οὖν ἐστιν ὡς τὸ AB πρὸς τὸ Γ, οὕτως τὸ ΔE πρὸς τὸ Z, ὡς δὲ τὸ Γ πρὸς τὸ BH, οὕτως τὸ Z πρὸς τὸ EΘ, δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ AB προς τὸ BH, οὕτως τὸ ΔE πρὸς το EΘ. καὶ ἐπεὶ διῃρημένα μεγέθη ἀνάλογόν ἐστιν, καὶ συντεθέντα ἀνάλογον ἔσται· ἔστιν ἄρα ὡς τὸ AH πρὸς τὸ HB, οὕτως τὸ ΔΘ πρὸς τὸ ΘE. ἔστι δὲ καὶ ὡς τὸ BH πρὸς τὸ Γ, οὕτως τὸ EΘ πρὸς τὸ Z· δι' ἴσου ἄρα ἐστὶν ὡς τὸ AH πρὸς τὸ Γ, οὕτως τὸ ΔΘ πρὸς τὸ Z.

Ἐὰν ἄρα πρῶτον πρὸς δεύτερον τὸν αὐτὸν ἔχῃ λόγον καὶ τρίτον πρὸς τέταρτον, ἔχῃ δὲ καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν λόγον καὶ ἕκτον πρὸς τέταρτον, καὶ συντεθὲν πρῶτον καὶ πέμπτον πρὸς δεύτερον τὸν αὐτὸν ἕξει λόγον καὶ τρίτον καὶ ἕκτον πρὸς τέταρτον· ὅπερ ἔδει δεῖξαι.

κε′.

Ἐὰν τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὶ μέγιστον [αὐτῶν] καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν μείζονά ἐστιν.



Sit enim $AB : \Gamma = \Delta E : Z$, et $BH : \Gamma = E\Theta : Z$. dico, esse etiam $AH : \Gamma = \Delta\Theta : Z$.

nam quoniam est $BH : \Gamma = E\Theta : Z$, e contrario erit [prop. VII coroll.] $\Gamma : BH = Z : E\Theta$. iam quoniam est $AB : \Gamma = \Delta E : Z$, et $\Gamma : BH = Z : E\Theta$, ex aequo erit $AB : BH = \Delta E : E\Theta$ [prop. XXII]. et quoniam diremptae magnitudines proportionales sunt, etiam compositae proportionales erunt [prop. XVIII]. itaque $AH : HB = \Delta\Theta : \Theta E$. uerum etiam

$$BH : \Gamma = E\Theta : Z.$$

itaque ex aequo $AH : \Gamma = \Delta\Theta : Z$ [prop. XXII].

Ergo si prima ad secundam eandem rationem habet ac tertia ad quartam, et etiam quinta ad secundam eandem rationem habet ac sexta ad quartam, etiam compositae prima et quinta ad secundam eandem rationem habebunt ac tertia sextaque ad quartam; quod erat demonstrandum.

XXV.

Si quattuor magnitudines proportionales sunt, maxima et minima duabus reliquis maiores sunt.

XXV. Eutocius in Apollon. p. 139.

---

1. *μὲν γάρ* P. 5. *τὸ πρῶτον* FV. *πέμπτον τὸ AH*] *πεμ* (ex *καί*) *πέμπτον, τὸ AH* supra *φ*. 8. *καὶ ἐπεὶ γάρ* F, *καί* del. *ἐστι* F. 12. *ἄρα*] supra F. 14. *ἐστιν*] PF; comp. p; *ἐστι* BV. 15. *ἔστιν ἄρα ὡς*] P; *ὡς ἄρα* Theon? (BFVp). 16. *HB*] *BH* P. *ἐστιν* B. 21. *ἔχῃ δέ* — 25: *δεῖξαι*] *καὶ τὰ λοιπά* p. 21. *ἔχει* P. 22. *καὶ ἔκτον* — 25: *δεῖξαι*] *καὶ τὰ λοιπά* B. 28. *αὐτῶν*] om. P, Eutocius. *δύο*] Eutocius, V; *τὰ δύο* Pφp, et B, sed *τά* del. m. 2. *τῶν*] om φ.

Ἔστω τέσσαρα μεγέθη ἀνάλογον τὰ AB, ΓΔ, E, Z, ὡς τὸ AB πρὸς τὸ ΓΔ, οὕτως τὸ E πρὸς τὸ Z, ἔστω δὲ μέγιστον μὲν αὐτῶν τὸ AB, ἐλάχιστον δὲ τὸ Z· λέγω, ὅτι τὰ AB, Z τῶν ΓΔ, E μείζονά ἐστιν.


Κείσθω γὰρ τῷ μὲν E ἴσον τὸ AH, τῷ δὲ Z ἴσον τὸ ΓΘ.

Ἐπεὶ [οὖν] ἐστιν ὡς τὸ AB πρὸς τὸ ΓΔ, οὕτως τὸ E πρὸς τὸ Z, ἴσον δὲ τὸ μὲν E τῷ AH, τὸ δὲ Z τῷ ΓΘ, ἔστιν ἄρα ὡς τὸ AB πρὸς τὸ ΓΔ, οὕτως τὸ AH πρὸς τὸ ΓΘ. καὶ ἐπεί ἐστιν ὡς ὅλον τὸ AB πρὸς ὅλον τὸ ΓΔ, οὕτως ἀφαιρεθὲν τὸ AH πρὸς ἀφαιρεθὲν τὸ ΓΘ, καὶ λοιπὸν ἄρα τὸ HB πρὸς λοιπὸν τὸ ΘΔ ἔσται ὡς ὅλον τὸ AB πρὸς ὅλον τὸ ΓΔ. μεῖζον δὲ τὸ AB τοῦ ΓΔ· μεῖζον ἄρα καὶ τὸ HB τοῦ ΘΔ. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ μὲν AH τῷ E, τὸ δὲ ΓΘ τῷ Z, τὰ ἄρα AH, Z ἴσα ἐστὶ τοῖς ΓΘ, E. Καὶ [ἐπεὶ] ἐὰν [ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅλα ἄνισά ἐστιν, ἐὰν ἄρα] τῶν HB, ΘΔ ἀνίσων ὄντων καὶ μείζονος τοῦ HB τῷ μὲν HB προστεθῇ τὰ AH, Z, τῷ δὲ ΘΔ προστεθῇ τὰ ΓΘ, E, συνάγεται τὰ AB, Z μείζονα τῶν ΓΔ, E.

Ἐὰν ἄρα τέσσαρα μεγέθη ἀνάλογον ᾖ, τὸ μέγιστον αὐτῶν καὶ τὸ ἐλάχιστον δύο τῶν λοιπῶν μείζονά ἐστιν· ὅπερ ἔδει δεῖξαι.

---

2. *E*] (alt.) *Θ π.* 4. *ἐστιν*] PF; comp. p; *ἐστι* BV. 5. *τῷ*] *τό* V φ (non F). *τό*] *τῷ* Vφ. *τῷ*] *τό* V. 6. *τό*] *τῷ* V; om. P. 7. *οὖν*] om. P. 8. Z] in ras. m. 2 V. 12. *ΓΘ*] *Θ* e corr. V. Post *καί* 2 litt. euan. F. *HB*] *AB π.* 13. *ΘΔ*] *Δ* eras. F. *ἔσται*] seq. ras. F, in qua *ἔσται* ins. φ. *AB*] *B* e corr. F. 15. *AH*] *H* corr. ex *B* V m. 2. 16. *δέ*] m. rec. p. *AH*] P, *BH π*, *AK* φ. 17. *ὅλα*] supra m. 1 V. 19. *τῷ*] *τό* V; corr. m. 2. *μέν*] m. 2 V. 21. *μείζωνα* φ. 22. *ἄρα*] om. p. *ἀνάλογον* — 24:



Sint quattuor magnitudines proportionales AB, $\Gamma\Delta$, E, Z, ita ut sit $AB : \Gamma\Delta = E : Z$, et maxima earum sit AB, minima autem Z. dico, esse

$$AB + Z > \Gamma\Delta + E.$$

ponatur enim $AH = E$ et $\Gamma\Theta = Z$.[1]) iam quoniam est $AB : \Gamma\Delta = E : Z$, et $E = AH$, $Z = \Gamma\Theta$, erit $AB : \Gamma\Delta = AH : \Gamma\Theta$. et quoniam est

$$AB : \Gamma\Delta = AH : \Gamma\Theta,$$

erit etiam [prop. XIX] $HB : \Theta\Delta = AB : \Gamma\Delta$. sed $AB > \Gamma\Delta$. quare etiam $HB > \Theta\Delta$.[2]) et quoniam $AH = E$ et $\Gamma\Theta = Z$, erit $AH + Z = \Gamma\Theta + E$. et si datis magnitudinibus HB, $\Theta\Delta$ inaequalibus, quarum maior est HB, magnitudini HB adiicitur $AH + Z$, $\Theta\Delta$ autem magnitudini magnitudo $\Gamma\Theta + E$, concluditur

$$AB + Z > \Gamma\Delta + E.$$[3])

1) Nam cum $AB > E$, erit $\Gamma\Delta > Z$ (prop. 14).

2) Cum $HB : \Theta\Delta = AB : \Gamma\Delta$, erit (prop. 16) $AB : HB = \Gamma\Delta : \Theta\Delta$; tum u. prop. 14.

3) Cum I *κοιν. ἔννν.* 4 subditiua sit, uerba *ἐπεί* et *ἀνίσοις — ἐὰν ἄρα* lin. 17—18 necessario delenda sunt, praesertim cum haec postulati forma ad demonstrandum propositum non sufficiat, et offendat orationis forma ob repetitum *ἐάν* permolesta; ad quam molestiam leuandam *ἐπεί* lin. 17 sustulit Augustus. sed fortasse Euclides ipse lin. 17 sq. haec sola scripserat: *ὥστε τὰ AB, Z τῶν ΓΔ, E μείζονά ἐστιν*; nam *συνάγεται* lin. 20 inusitatum est. de demonstratione, qua uti poterat Euclides, cfr. uol. I p. 181 not.

δειξαι] *καὶ τὰ λοιπά* p. *τὸ μέγιστον* — 24: *δειξαι*] *καὶ τὰ λοιπά* B. 23. *ἐλάχιστον*] *ἔλαττον* V. In fine: *Εὐκλείδου στοιχείων τῆς Θέωνος ἐκδόσεως ε′* F; *Εὐκλείδου στοιχείων ε′* PB.

5'.

Ὅροι.

α'. Ὅμοια σχήματα εὐθύγραμμά ἐστιν, ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον.

[β'. Ἀντιπεπονθότα δὲ σχήματά ἐστιν, ὅταν ἐν ἑκατέρῳ τῶν σχημάτων ἡγούμενοί τε καὶ ἑπόμενοι λόγοι ὦσιν.]

γ'. Ἄκρον καὶ μέσον λόγον εὐθεῖα τετμῆσθαι λέγεται, ὅταν ᾖ ὡς ἡ ὅλη πρὸς τὸ μεῖζον τμῆμα, οὕτως τὸ μεῖζον πρὸς τὸ ἔλαττον.

δ'. Ὕψος ἐστὶ πάντος σχήματος ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἀγομένη.

[ε'. Λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται, ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ' ἑαυτὰς πολλαπλασιασθεῖσαι ποιῶσί τινα.]

α'.

Τὰ τρίγωνα καὶ τὰ παραλληλόγραμμα τὰ

Def. 1. Hero def. 118, 1. 2. Hero def. 118, 1. 4. Cfr. Hero def. 73. [5. Theon in Ptolem. I p. 235 ed. Halma. Eutocius in Archim III p. 140, 23. Barlaam logist. V def. 2]. Prop. I. Proclus p. 245, 5. 405, 11. Pappus V p. 432, 23. VIII p. 1106, 23.

---

1. ὅροι] om. codd. numeros om. codd. 5. σχήματα εὐθύγραμμά ἐστιν F. 7. λόγοι] P, F supra scr. ὅροι m. 1; ὅροι Bp et V in ras., supra scr. λόγοι m. 2; λόγων ὅροι Candalla, Peyrardus; λόγοι iam Hero. εἰσιν F, ὦσι p. Dein seq.

VI.

Definitiones.

I. Figurae rectilineae similes sunt, quaecunque et angulos singulos aequales habent et latera aequales angulos comprehendentia proportionalia.

[II. Reciprocae autem figurae sunt, ubi in utraque figura et praecedentes et sequentes rationes sunt].[1])

III. Secundum extremam ac mediam rationem recta linea secari dicitur, ubi tota ad partem maiorem eandem rationem habet ac maior pars ad minorem.

IV. Cuiusuis figurae altitudo est recta a uertice ad basim perpendicularis ducta.[2])

I.

Trianguli et parallelogramma sub eadem altitudine posita eandem inter se rationem habent ac bases.

---

1) Haec definitio nusquam ab Euclide usurpatur; neque enim ad illustrandam locutionem *λόγον ἀντιπεπονθότα ἔχειν* aut opus est, aut, si opus esset, sufficeret. praeterea *λόγοι* lin. 7 obscurum est. itaque puto, Simsonum p. 370 iure eam damnasse. fortasse ex Herone sumpta est, apud quem legitur.

2) Def. 4 om. Campanus. Def. 5 sine dubio interpolata est; nam nusquam usurpatur nec apud Campanum exstat neque in ipsis codd. locum eundem obtinet. sed cum P a manu prima addito signo, quo in textum referatur, eam in mg. habeat, fortasse ante Theonem interpolata est. u. Simson p. 372 sq.

---

def. 5 in Bp. 9. *ἡ*] om. PBp. *τό*] om. F. 10. *ἔλασσον* FV. 13—15. mg. m. 1 P; om. hoc loco Bp. 17. *τά*] (alt.) supra m. 1 F.

υπὸ τὸ αὐτὸ ὕψος ὄντα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις.

Ἔστω τρίγωνα μὲν τὰ ΑΒΓ, ΑΓΔ, παραλληλόγραμμα δὲ τὰ ΕΓ, ΓΖ ὑπὸ τὸ αὐτὸ ὕψος τὸ ΑΓ· λέγω, ὅτι ἐστὶν ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, καὶ τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον.


Ἐκβεβλήσθω γὰρ ἡ ΒΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Θ, Λ σημεῖα, καὶ κείσθωσαν τῇ μὲν ΒΓ βάσει ἴσαι [ὁσαιδηποτοῦν] αἱ ΒΗ, ΗΘ, τῇ δὲ ΓΔ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΔΚ, ΚΛ, καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ, ΑΘ, ΑΚ, ΑΛ.

Καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΓΒ, ΒΗ, ΗΘ ἀλλήλαις, ἴσα ἐστὶ καὶ τὰ ΑΘΗ, ΑΗΒ, ΑΒΓ τρίγωνα ἀλλήλοις. ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΘΓ βάσις τῆς ΒΓ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΒΓ τριγώνου. διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΛΓ βάσις τῆς ΓΔ βάσεως, τοσαυταπλάσιόν ἐστι καὶ τὸ ΑΛΓ τρίγωνον τοῦ ΑΓΔ τριγώνου· καὶ εἰ ἴση ἐστὶν ἡ ΘΓ βάσις τῇ ΓΛ βάσει, ἴσον ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τῷ ΑΓΛ τριγώνῳ, καὶ εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΓΛ τριγώνου, καὶ εἰ ἐλάσσων, ἔλασσον. τεσσάρων δὴ ὄντων μεγεθῶν δύο μὲν βάσεων τῶν ΒΓ, ΓΔ, δύο δὲ τριγώνων τῶν ΑΒΓ, ΑΓΔ εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν ΒΓ βάσεως καὶ τοῦ ΑΒΓ τριγώνου ἥ τε ΘΓ βάσις καὶ τὸ

---

4. ΓΖ] Z e corr. m. 2 F. *ὕψος*] P; *ὕψος ὄντα* Theon (BVp, F in ras. m. 2). *τὸ ΑΓ*] P; *τὴν ἀπὸ τοῦ Α ἐπὶ*

Sint trianguli $AB\Gamma$, $A\Gamma\Delta$, parallelogramma autem $E\Gamma$, ΓZ sub eadem altitudine posita $A\Gamma$. dico, esse $B\Gamma : \Gamma\Delta = AB\Gamma : A\Gamma\Delta = E\Gamma : \Gamma Z$.



producatur enim $B\Delta$ in utramque partem ad puncta Θ, Λ, et ponantur basi $B\Gamma$ aequales quotlibet rectae BH, $H\Theta$ et basi $\Gamma\Delta$ aequales quotlibet rectae ΔK, $K\Lambda$, et ducantur AH, $A\Theta$, AK, $A\Lambda$.

et quoniam $\Gamma B = BH = H\Theta$, erit etiam

$$\triangle A\Theta H = AHB = AB\Gamma \text{ [I, 38]}.$$

itaque quoties multiplex est basis $\Theta\Gamma$ basis $B\Gamma$, toties multiplex est etiam triangulus $A\Theta\Gamma$ trianguli $AB\Gamma$. eadem de causa, quoties multiplex est basis $\Lambda\Gamma$ basis $\Gamma\Delta$, toties multiplex est etiam triangulus $A\Lambda\Gamma$ trianguli $A\Gamma\Delta$. et si $\Theta\Gamma = \Gamma\Lambda$, erit etiam $\triangle A\Theta\Gamma = A\Gamma\Lambda$ [I, 38], et si $\Theta\Gamma > \Gamma\Lambda$, erit etiam $\triangle A\Theta\Gamma > A\Gamma\Lambda$, et si $\Theta\Gamma < \Gamma\Lambda$, erit $\triangle A\Theta\Gamma < A\Gamma\Lambda$. itaque datis quattuor magnitudinibus, duabus basibus $B\Gamma$, $\Gamma\Delta$ et duobus triangulis $AB\Gamma$, $A\Gamma\Delta$ sumptae sunt aeque muliplices basis $B\Gamma$

τὴν B Δ κάθετον ἀγομένην Theon (B V p, F in ras. m. 2); sed cfr. def. 4. 5. *λέγω, ὅτι*] in ras. m. 2 F. *ἐστὶν ὡς ἡ BΓ*] in mg. transeunt m. 1 F. *βάσις*] *-ις* in ras. F. 9. *BΔ*] *ΔB* B p, V m. 2. 11. *ὁσαιδηποτοῦν*] om. P. 12. *ΔK*] in ras. V. 14. *BH, HΘ*] e corr. p. 15. *ἐστίν* P; comp. p. *AHΘ* F p. 18. *ABΓ*] corr. ex *AΘΓ* m. 2 F. 19. *ΛΓ*] *ΓΛ* P, sed *Λ* in ras. *ΓΔ*] *ΔΓ* B p. 20. *AΓΔ*] *AΔΓ* B p. *τρίγωνον π* (non P). 21. *ΓΛ*] inter *Γ* et *Λ* ras. 1 litt. F V. *ἐστίν* P, comp. p. 22. *AΛΓ* B p. 23. *ΓΛ*] inter *Γ* et *Λ* ras. 1 litt. V. 24. *AΓΛ*] P V, B in ras. m. 1; *AΛΓ* p; *ABΓ* F. *ἔλαττον ἔλαττον* B F (*ἐλάττων* F m. 2).

ΑΘΓ τρίγωνον, τῆς δὲ ΓΔ βάσεως καὶ τοῦ ΑΔΓ τριγώνου ἄλλα, ἃ ἔτυχεν, ἰσάκις πολλαπλάσια ἥ τε ΛΓ βάσις καὶ τὸ ΑΛΓ τρίγωνον· καὶ δέδεικται, ὅτι, εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΔ βάσεως, ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΛΓ τριγώνου, καὶ εἰ ἴση, ἴσον, καὶ εἰ ἐλάσσων, ἔλασσον· ἔστιν ἄρα ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον.

Καὶ ἐπεὶ τοῦ μὲν ΑΒΓ τριγώνου διπλάσιόν ἐστι τὸ ΕΓ παραλληλόγραμμον, τοῦ δὲ ΑΓΔ τριγώνου διπλάσιόν ἐστι τὸ ΖΓ παραλληλόγραμμον, τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον, ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον. ἐπεὶ οὖν ἐδείχθη, ὡς μὲν ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, ὡς δὲ τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον, οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον, καὶ ὡς ἄρα ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν, οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΖΓ παραλληλόγραμμον.

Τὰ ἄρα τρίγωνα καὶ τὰ παραλληλόγραμμα τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις· ὅπερ ἔδει δεῖξαι.

β'.

Ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τρι-

---

2. ἃ] supra F. 3. *ΛΓ*] *ΓΛ* P. 4. *ΓΛ*] *Λ* in ras. m. 2 P; *ΛΓ* F. 6. *ἴση*] *ἴσον* B, et F, corr. m. 2. *ἐλάσσων*]

triangulique $AB\Gamma$ basis $\Theta\Gamma$ et triangulus $A\Theta\Gamma$, et basis $\Gamma\Delta$ triangulique $A\Delta\Gamma$ aliae quaeuis aeque multiplices basis $\Lambda\Gamma$ et triangulus $A\Lambda\Gamma$; et demonstratum est, si $\Theta\Gamma$ basis basim $\Gamma\Lambda$ superet, etiam triangulum $A\Theta\Gamma$ triangulum $A\Lambda\Gamma$ superare, et si aequalis sit, aequalem esse, et si minor, minorem. itaque erit

$$B\Gamma : \Gamma\Delta = AB\Gamma : A\Gamma\Delta \text{ [V def. 5].}$$

et quoniam $E\Gamma = 2\,AB\Gamma$ et $Z\Gamma = 2\,A\Gamma\Delta$ [I, 34], et partes eandem rationem habent atque aeque multiplices [V, 15], erit $\triangle AB\Gamma : A\Gamma\Delta = E\Gamma : Z\Gamma$. iam quoniam demonstratum est, esse

$$B\Gamma : \Gamma\Delta = AB\Gamma : A\Gamma\Delta$$

et $AB\Gamma : A\Gamma\Delta = E\Gamma : \Gamma Z$, erit etiam

$$B\Gamma : \Gamma\Delta = E\Gamma : Z\Gamma \text{ [V, 11].}$$

Ergo trianguli et parallelogramma sub eadem altitudine posita eandem inter se rationem habent ac bases; quod erat demonstrandum.

II.

Si in triangulo uni laterum parallela ducitur recta, latera trianguli proportionaliter secabit; et si latera

---

II. Schol. in Archim. III p. 383.

ἔλασσον P; ἔλαττον B, et F, corr. m. 2; ἐλάττων p. ἔλαττον BFp. 9. μὲν τοῦ V. 10. δέ] m. 2 V. 11. ἐστιν P; comp. p. 12. πολλαπλασίοις] παραπλησίοις B; corr. m. 2. 15. ZΓ] ΓZ BFp, V m. 2. 16. ἡ μέν p. ΑΒΓ] ΑΓΒ P. 17. ΑΓΔ] corr. ex ΑΔΓ F. τρίγωνον] om. V. 18. τρίγωνον] om. V. ΑΓΔ] e corr. F. τρίγωνον] m. 2 V. 19. ΓZ] P, V m. 1; ZΓ BFp, V m. 2. 20. ΓΔ] ΔΓ p. 21. παραλληλόγραμμον] (alt.) om. V. 27. παρὰ μίαν] mutat. in παράλληλος μιᾷ B m. recentissima; in V supra scr. m. 2: ἤτοι μιᾷ τῶν πλευρῶν παράλληλος.

γώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν.

Τριγώνου γὰρ τοῦ $AB\Gamma$ παράλληλος μιᾷ τῶν πλευρῶν τῇ $B\Gamma$ ἤχθω ἡ ΔE· λέγω, ὅτι ἐστὶν ὡς ἡ $B\Delta$ πρὸς τὴν ΔA, οὕτως ἡ ΓE πρὸς τὴν EA.

Ἐπεζεύχθωσαν γὰρ αἱ BE, $\Gamma\Delta$.

Ἴσον ἄρα ἐστὶ τὸ $B\Delta E$ τρίγωνον τῷ $\Gamma\Delta E$ τριγώνῳ· ἐπὶ γὰρ τῆς αὐτῆς βάσεώς ἐστι τῆς ΔE καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ταῖς ΔE, $B\Gamma$· ἄλλο δέ τι τὸ $A\Delta E$ τρίγωνον. τὰ δὲ ἴσα πρὸς τὸ αὐτὸ τὸν αὐτὸν ἔχει λόγον· ἔστιν ἄρα ὡς τὸ $B\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$ [τρίγωνον], οὕτως τὸ $\Gamma\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$ τρίγωνον. ἀλλ' ὡς μὲν τὸ $B\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$, οὕτως ἡ $B\Delta$ πρὸς τὴν ΔA· ὑπὸ γὰρ τὸ αὐτὸ ὕψος ὄντα τὴν ἀπὸ τοῦ E ἐπὶ τὴν AB κάθετον ἀγομένην πρὸς ἄλληλά εἰσιν ὡς αἱ βάσεις. διὰ τὰ αὐτὰ δὴ ὡς τὸ $\Gamma\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$, οὕτως ἡ ΓE πρὸς τὴν EA· καὶ ὡς ἄρα ἡ $B\Delta$ πρὸς τὴν ΔA, οὕτως ἡ ΓE πρὸς τὴν EA.


Ἀλλὰ δὴ αἱ τοῦ $AB\Gamma$ τριγώνου πλευραὶ αἱ AB, $A\Gamma$ ἀνάλογον τετμήσθωσαν, ὡς ἡ $B\Delta$ πρὸς τὴν ΔA, οὕτως ἡ ΓE πρὸς τὴν EA, καὶ ἐπεζεύχθω ἡ ΔE· λέγω, ὅτι παράλληλός ἐστιν ἡ ΔE τῇ $B\Gamma$.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν

---

1. Ante *ἐάν* 2 litt. eras. V. 3. *παρὰ τὴν λοιπήν*] mutat. in *παράλληλος τῇ λοιπῇ* B m. recentiss.; in F supra scr. m. 2 *παράλληλος*. 4. *πλευράν*] mutat. in *πλευρᾷ* m. recentiss. B. 7. *τήν*] postea insert. *φ*. *τήν*] postea insert. *φ*. *EA*]

trianguli proportionaliter secantur, recta ad puncta sectionum ducta reliquo lateri trianguli parallela erit.



Nam in triangulo $AB\Gamma$ uni laterum $B\Gamma$ parallela ducatur ΔE. dico, esse

$$B\Delta : \Delta A = \Gamma E : EA.$$

ducantur enim BE, $\Gamma\Delta$. itaque $\triangle B\Delta E = \Gamma\Delta E$; nam in eadem basi sunt ΔE et in iisdem parallelis ΔE, $B\Gamma$ [I, 38]. alia autem quaedam magnitudo est $\triangle A\Delta E$. et aequalia ad idem eandem rationem habent [V, 7]. erit igitur $B\Delta E : A\Delta E = \Gamma\Delta E : A\Delta E$. uerum $B\Delta E : A\Delta E = B\Delta : \Delta A$; nam cum sub eadem altitudine positi sint, ea quae ab E ad AB perpendicularis ducitur, eandem inter se rationem habent ac bases [prop. I]. eadem de causa erit etiam

$$\triangle \Gamma\Delta E : A\Delta E = \Gamma E : EA.$$

quare etiam $B\Delta : \Delta A = \Gamma E : EA$ [V, 11].

iam uero trianguli $AB\Gamma$ latera AB, $A\Gamma$ proportionaliter secentur, ita ut sit $B\Delta : \Delta A = \Gamma E : EA$, et ducatur ΔE. dico, ΔE rectae $B\Gamma$ parallelam esse.

AB F. 8. *γάρ*] supra m. 1 V. 9. *ἄρα*] *δή* P. *ἐστίν* P, comp. p. 11. $B\Gamma$] EZ φ (non F). 14. *τό*] corr. ex *τῷ* m. 2 V. $A\Delta E$] ΔAE P. *τρίγωνον*] om. P. *τρίγωνον*] om. V. 16. $A\Delta E$] Δ e corr. m. 2 V. *ἡ*] φ; add. supra etiam m. rec. 19. Post *βάσεις* add. V: *ὡς δὲ τὸ ΓΔΕ πρὸς τὸ ΑΔΕ τρίγωνον.* *δή*] om. F; uidetur add. fuisse m. 2, sed euan.; *δὴ καί* P. *ὡς τό*] om. V; *ὡς δὲ τό* φ. *ΓΔΕ τρίγωνον πρὸς τὸ ΑΔΕ*] om. V. 20. EA] AE p. 21. ΓE] ΓB F? 23. *αἱ* AB, $A\Gamma$] m. 2 V; *αἱ* om. F, add. φ. 24. Ante *ὡς* hab. Bp: *κατὰ τὰ Δ, Ε σημεῖα*; idem P mg. m. 2. *ὡς ἄρα* Bp. 25. ΓE] mutat. in $E\Gamma$ m. 2 V.

ὡς ἡ $B\Delta$ πρὸς τὴν ΔA, οὕτως ἡ ΓE πρὸς τὴν EA, ἀλλ᾽ ὡς μὲν ἡ $B\Delta$ πρὸς τὴν ΔA, οὕτως τὸ $B\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$ τρίγωνον, ὡς δὲ ἡ ΓE πρὸς τὴν EA, οὕτως τὸ $\Gamma\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$ τρίγωνον, καὶ ὡς ἄρα τὸ $B\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$ τρίγωνον, οὕτως τὸ $\Gamma\Delta E$ τρίγωνον πρὸς τὸ $A\Delta E$ τρίγωνον. ἑκάτερον ἄρα τῶν $B\Delta E$, $\Gamma\Delta E$ τριγώνων πρὸς τὸ $A\Delta E$ τὸν αὐτὸν ἔχει λόγον. ἴσον ἄρα ἐστὶ τὸ $B\Delta E$ τρίγωνον τῷ $\Gamma\Delta E$ τριγώνῳ· καί εἰσιν ἐπὶ τῆς αὐτῆς βάσεως τῆς ΔE. τὰ δὲ ἴσα τρίγωνα καὶ ἐπὶ τῆς αὐτῆς βάσεως ὄντα καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις ἐστίν. παράλληλος ἄρα ἐστὶν ἡ ΔE τῇ $B\Gamma$.

Ἐὰν ἄρα τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου πλευράς· καὶ ἐὰν αἱ τοῦ τριγώνου πλευραὶ ἀνάλογον τμηθῶσιν, ἡ ἐπὶ τὰς τομὰς ἐπιζευγνυμένη εὐθεῖα παρὰ τὴν λοιπὴν ἔσται τοῦ τριγώνου πλευράν· ὅπερ ἔδει δεῖξαι.

γ′.

Ἐὰν τριγώνου ἡ γωνία δίχα τμηθῇ, ἡ δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἕξει λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς· καὶ ἐὰν τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἔχῃ λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἐπιζευγνυμένη εὐθεῖα δίχα τεμεῖ τὴν τοῦ τριγώνου γωνίαν.

---

3. τρίγωνον] (alt.) om. V. 4. τὴν EA] τὸ EA seq. ras. 1 litt. F. 5. καὶ ὡς ἄρα — 7: $A\Delta E$ τρίγωνον] mg. m. 2 V. 6.

nam iisdem comparatis quoniam est
$B\Delta : \Delta A = \Gamma E : EA$, et $B\Delta : \Delta A = \triangle B\Delta E : A\Delta E$, et $\Gamma E : EA = \triangle \Gamma\Delta E : A\Delta E$ [prop. I], erit etiam $\triangle B\Delta E : A\Delta E = \triangle \Gamma\Delta E : A\Delta E$ [V, 11]. itaque uterque triangulus $B\Delta E$, $\Gamma\Delta E$ ad $A\Delta E$ eandem rationem habet. itaque $\triangle B\Delta E = \Gamma\Delta E$ [V, 9]. et in eadem basi sunt ΔE. trianguli autem, qui aequales sunt et in eadem basi positi, etiam in iisdem parallelis sunt [I, 39]. itaque ΔE rectae $B\Gamma$ parallela est.

Ergo si in triangulo uni laterum parallela ducitur recta, latera trianguli proportionaliter secabit; et si latera trianguli proportionaliter secantur, recta ad puncta sectionum ducta reliquo lateri trianguli parallela erit; quod erat demonstrandum.

III.

Si angulus trianguli in duas partes aequales diuiditur, et recta angulum secans etiam basim secat, partes basis eandem rationem habebunt ac reliqua latera trianguli; et si partes basis eandem rationem habent ac reliqua latera trianguli, recta a uertice ad punctum sectionis ducta angulum trianguli in duas partes aequales secabit.

III. Theon in Ptolem. p. 201. Eutocius in Archim. III p. 272, 11. Schol. in Pappum III p. 1175, 16, 25 al.

τρίγωνον] (prius) om. BFVp. 7. *τρίγωνον*] comp. F. 8. *πρὸς τὸ ΑΔΕ*] supra m. 1 F; *πρὸς τὸ ΑΔΕ τρίγωνον* V. 9. *ἐστίν* FV. 11. *καί*] (prius) *τά* F. 12. *παράλληλος* V; corr. m. 2. *ἐστίν*] (prius) PFV; *ἐστί* B, et p (*ι* in ras.); *εἰσί* V m. 2. 14. *πλευρῶν*] mg. m. 1 P. 20. *ἡ*] om. V. *τμηθῇ*] in ras. m. 2 V. *δέ*] supra m. 1 F. 21. *τέμνῃ*] *τέμνει* eras. *ι* V. 24. *καὶ ἐὰν τά* — 25: *πλευραῖς*] mg. m. 2 V. 24. *ἔχῃ*] corr. ex *ἔχει* m. 1 p. 27. *τεμεῖ*] P, F m. 2, V m. 2; *τέμνει* Bp, F m. 1, V m. 1.

Ἔστω τρίγωνον τὸ $AB\Gamma$, καὶ τετμήσθω ἡ ὑπὸ $BA\Gamma$ γωνία δίχα ὑπὸ τῆς $A\Delta$ εὐθείας· λέγω, ὅτι ἐστὶν ὡς ἡ $B\Delta$ πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ BA πρὸς τὴν $A\Gamma$.

Ἤχθω γὰρ διὰ τοῦ Γ τῇ ΔA παράλληλος ἡ ΓE, καὶ διαχθεῖσα ἡ BA συμπιπτέτω αὐτῇ κατὰ τὸ E.

Καὶ ἐπεὶ εἰς παραλλήλους τὰς $A\Delta$, $E\Gamma$ εὐθεῖα ἐνέπεσεν ἡ $A\Gamma$, ἡ ἄρα ὑπὸ $A\Gamma E$ γωνία ἴση ἐστὶ τῇ ὑπὸ $\Gamma A\Delta$. ἀλλ' ἡ ὑπὸ $\Gamma A\Delta$ τῇ ὑπὸ $BA\Delta$ ὑπόκειται ἴση· καὶ ἡ ὑπὸ $BA\Delta$ ἄρα τῇ ὑπὸ $A\Gamma E$ ἐστιν ἴση. πάλιν, ἐπεὶ εἰς παραλλήλους τας $A\Delta$, $E\Gamma$ εὐθεῖα ἐνέπεσεν ἡ BAE, ἡ ἐκτὸς γωνία ἡ ὑπὸ $BA\Delta$ ἴση ἐστὶ τῇ ἐντὸς τῇ ὑπὸ $AE\Gamma$. ἐδείχθη δὲ καὶ ἡ ὑπὸ $A\Gamma E$ τῇ ὑπὸ $BA\Delta$ ἴση· καὶ ἡ ὑπὸ $A\Gamma E$ ἄρα γωνία τῇ ὑπὸ $AE\Gamma$ ἐστιν ἴση· ὥστε καὶ πλευρὰ ἡ AE πλευρᾷ τῇ $A\Gamma$ ἐστιν ἴση. καὶ ἐπεὶ τριγώνου τοῦ $B\Gamma E$ παρὰ μίαν τῶν πλευρῶν τὴν $E\Gamma$ ἦκται ἡ $A\Delta$, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ $B\Delta$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἡ BA πρὸς τὴν AE. ἴση δὲ ἡ AE τῇ $A\Gamma$· ὡς ἄρα ἡ $B\Delta$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἡ BA πρὸς τὴν $A\Gamma$.

Ἀλλὰ δὴ ἔστω ὡς ἡ $B\Delta$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἡ BA πρὸς τὴν $A\Gamma$, καὶ ἐπεζεύχθω ἡ $A\Delta$· λέγω, ὅτι δίχα τέτμηται ἡ ὑπὸ $BA\Gamma$ γωνία ὑπὸ τῆς $A\Delta$ εὐθείας.


Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεί ἐστιν ὡς ἡ $B\Delta$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἡ BA πρὸς τὴν $A\Gamma$, ἀλλὰ καὶ ὡς ἡ $B\Delta$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἐστὶν ἡ BA

---

1. καί] supra F. 3. $\Gamma\Delta$] $\Delta\Gamma$ P. 7. εὐθείας V. 8. ἐνέπεσεν] Pφ Bp; ἐμπέπτωκεν V. ἐστίν P; comp. p. 9. ἀλλά P. 11. εὐθεῖα] εὐθείας addito εὐθεῖα in mg. m.

Sit triangulus $AB\Gamma$, et $\angle BA\Gamma$ in duas partes aequales secetur recta $A\Delta$. dico, esse

$$B\Delta : \Gamma\Delta = BA : A\Gamma.$$



ducatur enim per Γ rectae ΔA parallela ΓE, et producta BA cum ea concurrat in E [I *αἴτ.* 5]. et quoniam in rectas parallelas $A\Delta$, $E\Gamma$ recta incidit $A\Gamma$, erit $\angle A\Gamma E = \Gamma A\Delta$ [I, 29]. sed supposuimus $\angle \Gamma A\Delta = BA\Delta$. quare etiam $\angle BA\Delta = A\Gamma E$. rursus quoniam in rectas parallelas $A\Delta, E\Gamma$ recta incidit BAE, erit $\angle BA\Delta = AE\Gamma$ exterior angulus interiori [I, 29]. demonstratum est autem, esse etiam $\angle A\Gamma E = BA\Delta$. quare etiam $\angle A\Gamma E = AE\Gamma$. quare etiam $AE = A\Gamma$ [I, 6]. et quoniam in triangulo $B\Gamma E$ uni laterum $E\Gamma$ parallela ducta est $A\Delta$, erit $B\Delta : \Delta\Gamma = BA : AE$ [prop. II]. sed $AE = A\Gamma$. itaque erit

$$B\Delta : \Delta\Gamma = BA : A\Gamma.$$

iam uero sit $B\Delta : \Delta\Gamma = BA : A\Gamma$, et ducatur $A\Delta$. dico, $\angle BA\Gamma$ in duas partes aequales secari recta $A\Delta$.

nam iisdem comparatis quoniam est $B\Delta : \Delta\Gamma = BA : A\Gamma$, uerum etiam $B\Delta : \Delta\Gamma = BA : AE$ (nam

---

2 V; *εὐθείας εὐθεῖα* Bp. 12. *ἐνέπεσε* V. *BAE*] litt. *E* in ras. m. 2 P. *ἡ*] (tert.) in ras. V. 13. *ἴση*] *-η* e corr. m. 2 P. *AEΓ*] litt. *EΓ* in ras. P. 14. *BAΔ*] corr. ex *BΔΔ* m. 1 p. *ἄρα γωνία*] om. V. 16. *AE*] *AΘ π* (non P), *EA φ*. *πλευράν π* (non P). 18. *πρὸς τήν*] *τήν* comp. scriptum cum *πρός* coaluit in F, *πρός φ*, et sic in seq. saepius. 20. *ὡς ἄρα*] P; *ἔστιν ἄρα ὡς* Theon? (BFVp); cfr. p. 68, 15. 22. *BΔ*] *Δ* corr. p. *ΔΓ*] *ΓΔ* F. 26. *ἐπεὶ γάρ φ*. 27. *AΓ* — p. 84, 1: *πρὸς τήν*] om. Bp. 28. *τήν*] om. F (inser. m. rec., sed eras.).

πρὸς τὴν AE· τριγώνου γὰρ τοῦ $BΓE$ παρὰ μίαν τὴν $EΓ$ ἦκται ἡ $AΔ$· καὶ ὡς ἄρα ἡ BA πρὸς τὴν $AΓ$, οὕτως ἡ BA πρὸς τὴν AE. ἴση ἄρα ἡ $AΓ$ τῇ AE· ὥστε καὶ γωνία ἡ ὑπὸ $AEΓ$ τῇ ὑπὸ $AΓE$ ἐστιν ἴση. ἀλλ' ἡ μὲν ὑπὸ $AEΓ$ τῇ ἐκτὸς τῇ ὑπὸ $BAΔ$ [ἐστιν] ἴση, ἡ δὲ ὑπὸ $AΓE$ τῇ ἐναλλὰξ τῇ ὑπὸ $ΓAΔ$ ἐστιν ἴση· καὶ ἡ ὑπὸ $BAΔ$ ἄρα τῇ ὑπὸ $ΓAΔ$ ἐστιν ἴση. ἡ ἄρα ὑπὸ $BAΓ$ γωνία δίχα τέτμηται ὑπὸ τῆς $AΔ$ εὐθείας.

Ἐὰν ἄρα τριγώνου ἡ γωνία δίχα τμηθῇ, η δὲ τέμνουσα τὴν γωνίαν εὐθεῖα τέμνῃ καὶ τὴν βάσιν, τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἕξει λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς· καὶ ἐὰν τὰ τῆς βάσεως τμήματα τὸν αὐτὸν ἔχῃ λόγον ταῖς λοιπαῖς τοῦ τριγώνου πλευραῖς, ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν τομὴν ἐπιζευγνυμένη εὐθεῖα δίχα τέμνει τὴν τοῦ τριγώνου γωνίαν· ὅπερ ἔδει δεῖξαι.

δ'.

Τῶν ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι.

Ἔστω ἰσογώνια τρίγωνα τὰ $ABΓ$, $ΔΓE$ ἴσην ἔχοντα τὴν μὲν ὑπὸ $ABΓ$ γωνίαν τῇ ὑπὸ $ΔΓE$, τὴν δὲ ὑπὸ $BAΓ$ τῇ ὑπὸ $ΓΔE$ καὶ ἔτι τὴν ὑπὸ $AΓB$ τῇ ὑπὸ $ΓEΔ$· λέγω, ὅτι τῶν $ABΓ$, $ΔΓE$ τριγώνων

IV. Psellus p. 70.

3. *οὕτως*] m. 2 V. *AE*] *AΓ* φ. 4. *AE*] *EA* φ. *τῇ*] PBp; *γωνίᾳ τῇ* FV. 5. *ἀλλά* P. 6. *BAΔ*] *B* supra m. 1 F. *ἐστιν*] om. P. *ἡ δέ*] *ἴση δὲ καὶ ἡ* V. *AΓE*] supra *Γ* ras. est in V; *AEΓ* F. 7. *ἐστιν ἴση*] om. V. *καὶ ἡ ὑπό* — 8:

in triangulo $B\Gamma E$ uni laterum $E\Gamma$ parallela ducta est $A\Delta$) [prop. II], erit etiam $BA : A\Gamma = BA : AE$ [V, 11]. quare $A\Gamma = AE$ [V, 9]. quare etiam $\angle AE\Gamma = A\Gamma E$ [I, 5]. sed $\angle AE\Gamma = BA\Delta$ exteriori [I, 29], et $\angle A\Gamma E = \Gamma A\Delta$ alterno [id.]. quare etiam $\angle BA\Delta = \Gamma A\Delta$. itaque $\angle BA\Gamma$ recta $A\Delta$ in duas partes aequales sectus est.

Ergo si angulus trianguli in duas partes aequales diuiditur, et recta angulum secans etiam basim secat, partes basis eandem rationem habebunt ac reliqua latera trianguli; et si partes basis eandem rationem habent ac reliqua latera trianguli, recta a uertice ad punctum sectionis ducta angulum trianguli in duas partes aequales secabit; quod erat demonstrandum.

IV.

In triangulis aequiangulis latera aequales angulos comprehendentia proportionalia sunt et correspondentia, quae sub aequalibus angulis subtendunt.

Sint trianguli aequianguli $AB\Gamma$, $\Delta\Gamma E$ habentes $\angle AB\Gamma = \Delta\Gamma E$, $BA\Gamma = \Gamma\Delta E$, $A\Gamma B = \Gamma E\Delta$. dico,

---

ἐστιν ἴση] om. B et V (ras. est quartae partis lineae); in mg. transeunt in ras. p. 10. *ἡ*] om. V. *δίχα*] om. F. 11. *τὴν γωνίαν*] P; *αὐτήν* BFVp. *εὐθεῖα*] mg. m. 1 P. *τέμνει* F et seq. ras. 1 litt. V. 12. *τά*] m. 2 F. 13. *καὶ ἐάν* — 17: *δεῖξαι*] in ras. m. 1 F. 14. *ἔχῃ*] corr. ex *ἔχει* p. *λόγον ἔχῃ* V. 16. *τοῦ τριγώνου*] om. FV. 17. *γωνίαν*] *εὐθεῖαν* p. 20. *αἱ περί*] e corr. V. *ἴσας*] m. rec. F. 21. *πλευραὶ ὑποτείνουσαι* Bp, *ὑποτείνουσαι πλευραί* FV. 22. *ἔστωσαν* V. *ΔΓΕ*] *ΓΔΕ* Bp, V m. 2. 23. *ΑΒΓ*] *ΒΑΓ* P. *γωνίαν*] comp. mg. P. *ΔΓΕ*] *ΓΔΕ* P. 24. *ΒΑΓ*] BFp, V m. 2; *ΒΓΑ* P; *ΑΓΒ* V m. 1. *ΓΔΕ*] BFp, V m. 2; *ΓΕΔ* P. *ΑΓΒ*] Bp, V in ras. m. 2; *ΑΒΓ* PF. 25. *ΓΕΔ*] BFp; *ΔΕΓ* in ras. m. 2 V; *ΔΓΕ* P.


ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι.

Κείσθω γὰρ ἐπ' εὐθείας ἡ ΒΓ τῇ ΓΕ. καὶ ἐπεὶ αἱ ὑπὸ ΑΒΓ, ΑΓΒ γωνίαι δύο ὀρθῶν ἐλάττονές εἰσιν, ἴση δὲ ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, αἱ ἄρα ὑπὸ ΑΒΓ, ΔΕΓ δύο ὀρθῶν ἐλάττονές εἰσιν· αἱ ΒΑ, ΕΔ ἄρα ἐκβαλλόμεναι συμπεσοῦνται. ἐκβεβλήσθωσαν καὶ συμπιπτέτωσαν κατὰ τὸ Ζ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΓΕ γωνία τῇ ὑπὸ ΑΒΓ, παράλληλός ἐστιν ἡ ΒΖ τῇ ΓΔ. πάλιν, ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΑΓΒ τῇ ὑπὸ ΔΕΓ, παράλληλός ἐστιν ἡ ΑΓ τῇ ΖΕ. παραλληλόγραμμον ἄρα ἐστὶ τὸ ΖΑΓΔ· ἴση ἄρα ἡ μὲν ΖΑ τῇ ΔΓ, ἡ δὲ ΑΓ τῇ ΖΔ. καὶ ἐπεὶ τριγώνου τοῦ ΖΒΕ παρὰ μίαν τὴν ΖΕ ἦκται ἡ ΑΓ, ἔστιν ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΖ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ. ἴση δὲ ἡ ΑΖ τῇ ΓΔ· ὡς ἄρα ἡ ΒΑ πρὸς τὴν ΓΔ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΓΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ. πάλιν, ἐπεὶ παράλληλός ἐστιν ἡ ΓΔ τῇ ΒΖ, ἔστιν ἄρα ὡς ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΖΔ πρὸς τὴν ΔΕ. ἴση δὲ ἡ ΖΔ τῇ ΑΓ· ὡς ἄρα ἡ ΒΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ ΑΓ πρὸς τὴν ΔΕ, καὶ ἐναλλὰξ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ. ἐπεὶ οὖν ἐδείχθη ὡς μὲν ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΓ πρὸς τὴν ΓΕ, ὡς δὲ ἡ ΒΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΓΕ πρὸς τὴν ΕΔ, δι' ἴσου ἄρα ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΓΔ πρὸς τὴν ΔΕ.

---

4. *δύο*] *αἱ δύο* P, corr. m. 1. *ἐλάσσονες* V. 6. *ἐλάσσονες* V. 10. *ἐστιν*] P, F m. 1; *ἄρα ἐστίν* BVp, F m. 2. Sequentia in ras. m. 1 p. 12. *ἐστί*] *ἐστίν* P, comp. p. 13. *ΖΑΓΔ*] *Γ* in ras. B. *ΔΓ*] *Γ* in ras. p; *ΓΔ* V, corr. m. 2. 14. *ΖΔ*]



in triangulis $AB\Gamma$, $\Delta\Gamma E$ latera aequales angulos comprehendentia aequalia esse et correspondentia, quae sub aequalibus angulis subtendant.

ponatur enim $B\Gamma$ in productа ΓE, et quoniam $\angle AB\Gamma + A\Gamma B$ duobus rectis minores sunt [I, 17] et $\angle A\Gamma B = \Delta E\Gamma$, erunt $\angle AB\Gamma + \Delta E\Gamma$ duobus rectis minores. itaque BA, $E\Delta$ productae concurrent [I *αἴτ.* 5]. producantur et concurrant in Z.

et quoniam $\angle \Delta\Gamma E = AB\Gamma$, erit BZ rectae $\Gamma\Delta$ parallela [I, 28]. rursus quoniam $\angle A\Gamma B = \Delta E\Gamma$, erit $A\Gamma$ rectae ZE parallela [id.]. $ZA\Gamma\Delta$ igitur parallelogrammum est. quare $ZA = \Delta\Gamma$, $A\Gamma = Z\Delta$ [I, 34]. et quoniam in triangulo ZBE uni lateri ZE parallela ducta est $A\Gamma$, erit $BA : AZ = B\Gamma : \Gamma E$ [prop. II]. sed $AZ = \Gamma\Delta$. itaque $BA : \Gamma\Delta = B\Gamma : \Gamma E$ et permutando [V, 16] $AB : B\Gamma = \Delta\Gamma : \Gamma E$. rursus quoniam $\Gamma\Delta$ rectae BZ parallela est, erit $B\Gamma : \Gamma E = Z\Delta : \Delta E$ [prop. II]. sed $Z\Delta = A\Gamma$. itaque $B\Gamma : \Gamma E = A\Gamma : \Delta E$, et permutando [V, 16] $B\Gamma : \Gamma A = \Gamma E : E\Delta$. iam quoniam demonstratum est, esse $AB : B\Gamma = \Delta\Gamma : \Gamma E$ et $B\Gamma : \Gamma A = \Gamma E : E\Delta$, ex aequo erit $BA : A\Gamma = \Gamma\Delta : \Delta E$ [V, 22].

ΔZ P. ZBE] PF, V m. 1; BZE Bp, V m. 2. *μίαν τῶν πλευρῶν* V. 15. *ἡ*] (alt.) om. P. *τήν*] om. BFp. 16. *τήν*] om. BFp. 17. *τήν*] om. BFp. *τήν*] om. *φ*. 18. AB] BA p. *πρὸς τήν*] PV; *πρός* BFp, et sic deinde per totam propositionem. 21. $Z\Delta$] (alt.) ΔZ V m. 1; corr. m. 2. 23. *καὶ ἐναλλάξ*] P; *ἐναλλὰξ ἄρα* Theon? (BFVp); cfr. lin. 18. 24. *ἐπεὶ οὖν*] *καὶ ἐπεί* P. *ἡ μέν* P. 27. *καὶ δι' ἴσου* P.

Τῶν ἄρα ἰσογωνίων τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμόλογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι· ὅπερ ἔδει δεῖξαι.

ε′.

Ἐὰν δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ τὰς πλευρὰς ἀνάλογον ἔχοντα, ὡς μὲν τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, ὡς δὲ τὴν ΒΓ πρὸς τὴν ΓΑ, οὕτως τὴν ΕΖ πρὸς τὴν ΖΔ, καὶ ἔτι ὡς τὴν ΒΑ πρὸς τὴν ΑΓ, οὕτως τὴν ΕΔ πρὸς τὴν ΔΖ. λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ καὶ ἴσας ἕξουσι τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν, τὴν μὲν ὑπὸ ΑΒΓ τῇ ὑπὸ ΔΕΖ, τὴν δὲ ὑπὸ ΒΓΑ τῇ ὑπὸ ΕΖΔ καὶ ἔτι τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ.

Συνεστάτω γὰρ πρὸς τῇ ΕΖ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Ε, Ζ τῇ μὲν ὑπὸ ΑΒΓ γωνίᾳ ἴση ἡ ὑπὸ ΖΕΗ, τῇ δὲ ὑπο ΑΓΒ ἴση ἡ ὑπὸ ΕΖΗ· λοιπὴ ἄρα ἡ πρὸς τῷ Α λοιπῇ τῇ πρὸς τῷ Η ἐστιν ἴση.

ἰσογώνιον ἄρα ἐστὶ το ΑΒΓ τρίγωνον τῷ ΕΗΖ [τριγώνῳ]. τῶν ἄρα ΑΒΓ, ΕΗΖ τριγώνων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καὶ ὁμό-

---


3. *ὑπό*] *περί* p. *γωνίας*] bis p. *πλευραὶ ὑποτείνουσαι* BFp, *ὑποτείνουσαι πλευραί* V. 7. *τάς*] m. rec. F. 10. *τὴν ΒΓ*] *ΒΓ* BFp. 11. *τὴν ΕΖ*] *ΕΖ* BFp. *τὴν ΓΑ*] *ΓΑ* BFp. 12. *οὕτω* B. *τὴν ΖΔ*] P, V m. 1; *τὴν ΔΖ* V m. 2; *ΔΖ* BFp. 13. *οὕτω* Bp. *τὴν ΔΖ*] V; *τὴν ΖΔ* P; *ΔΖ* BFp. 14. *ἐστιν* P, comp. p. 16. *ὑποτείνουσι* Vp.

Ergo in triangulis aequiangulis latera aequales angulos comprehendentia proportionalia sunt et correspondentia, quae sub aequalibus angulis subtendunt; quod erat demonstrandum.

V.

Si duo trianguli latera proportionalia habent, aequianguli erunt trianguli et eos angulos aequales habebunt, sub quibus correspondentia latera subtendunt.

Sint duo trianguli $AB\Gamma$, ΔEZ latera proportionalia habentes, ita ut sit $AB : B\Gamma = \Delta E : EZ$, $B\Gamma : \Gamma A = EZ : Z\Delta$, $BA : A\Gamma = E\Delta : \Delta Z$. dico, triangulos $AB\Gamma$, ΔEZ aequiangulos fore et eos angulos aequales habituros esse, sub quibus correspondentia latera subtendant,



$\angle AB\Gamma = \Delta EZ$, $B\Gamma A = EZ\Delta$, $BA\Gamma = E\Delta Z$.

construatur enim ad rectam EZ et puncta eius E, Z angulo $AB\Gamma$ aequalis $\angle ZEH$ et angulo $A\Gamma B$ aequalis EZH [I, 23]. itaque qui relinquitur, angulus ad A positus reliquo angulo ad H posito aequalis est [I, 32]. itaque $AB\Gamma$, EHZ trianguli aequianguli sunt. quare in triangulis $AB\Gamma$, EHZ latera aequales angulos comprehendentia proportionalia sunt et corre-

21. $A\Gamma B$] e corr. V. 22. $\pi\rho\grave{o}\varsigma\ \tau\tilde{\omega}\ A$] P; $\grave{\upsilon}\pi\grave{o}\ BA\Gamma$ Theon (BFVp). $\pi\rho\grave{o}\varsigma\ \tau\tilde{\omega}\ H$] P; $\grave{\upsilon}\pi\grave{o}\ EHZ$ Theon (Bp; $\grave{\upsilon}\pi\grave{o}\ EZ$ supra scr. H V, $\grave{\upsilon}\pi\grave{o}\ EZH$ F). 23. $\grave{\iota}\sigma o\gamma\acute{\omega}\nu\iota o\upsilon$ F in fine lin. $\grave{\varepsilon}\sigma\tau\acute{\iota}\nu$ P, comp. p. EHZ] P, V m. 1; ZEH Bp, V m. 2, F eras. Z et H. 24. $\tau\rho\iota\gamma\acute{\omega}\nu\varphi$] om. P. EHZ] P, V m. 1; ZEH BFp, V m. 2.

λογοι αἱ ὑπὸ τὰς ἴσας γωνίας ὑποτείνουσαι· ἔστιν ἄρα ὡς ἡ *AB* πρὸς τὴν *BΓ*, [οὕτως] ἡ *HE* προς τὴν *EZ*. ἀλλ' ὡς ἡ *AB* πρὸς τὴν *BΓ*, οὕτως ὑπόκειται ἡ *ΔE* πρὸς τὴν *EZ*· ὡς ἄρα ἡ *ΔE* πρὸς τὴν *EZ*, οὕτως ἡ *HE* πρὸς τὴν *EZ*. ἑκατέρα ἄρα τῶν *ΔE*, *HE* πρὸς τὴν *EZ* τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἐστὶν ἡ *ΔE* τῇ *HE*. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ *ΔZ* τῇ *HZ* ἐστιν ἴση. ἐπεὶ οὖν ἴση ἐστὶν ἡ *ΔE* τῇ *EH*, κοινὴ δὲ ἡ *EZ*, δύο δὴ αἱ *ΔE*, *EZ* δυσὶ ταῖς *HE*, *EZ* ἴσαι εἰσίν· καὶ βάσις ἡ *ΔZ* βάσει τῇ *ZH* [ἐστιν] ἴση· γωνία ἄρα ἡ ὑπὸ *ΔEZ* γωνίᾳ τῇ ὑπὸ *HEZ* ἐστιν ἴση, καὶ τὸ *ΔEZ* τρίγωνον τῷ *HEZ* τριγώνῳ ἴσον, καὶ αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶ καὶ ἡ μὲν ὑπὸ *ΔZE* γωνία τῇ ὑπὸ *HZE*, ἡ δὲ ὑπὸ *EΔZ* τῇ ὑπὸ *EHZ*. καὶ ἐπεὶ ἡ μὲν ὑπὸ *ZEΔ* τῇ ὑπὸ *HEZ* ἐστιν ἴση, ἀλλ' ἡ ὑπὸ *HEZ* τῇ ὑπὸ *ABΓ*, καὶ ἡ ὑπὸ *ABΓ* ἄρα γωνία τῇ ὑπὸ *ΔEZ* ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ *AΓB* τῇ ὑπὸ *ΔZE* ἐστιν ἴση, καὶ ἔτι ἡ πρὸς τῷ *A* τῇ πρὸς τῷ *Δ*· ἰσογώνιον ἄρα ἐστὶ τὸ *ABΓ* τρίγωνον τῷ *ΔEZ* τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

ϛ΄.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γω-

---

1. *γωνίας*] m. 2 F. *πλευραὶ ὑποτείνουσαι* Theon (BVFp). 2. *τήν*] om. BFp. *οὕτως*] om. P. 3. *τήν*] om. BFp. *ἀλλ'* — 4: *EZ*] mg. m. 1 F. 3. *τήν*] om. BFp. 4. *τήν*]

spondentia, quae sub aequalibus angulis subtendunt [prop. IV]. erit igitur $AB : B\Gamma = HE : EZ$. sed $AB : B\Gamma = \Delta E : EZ$, ut supposuimus. quare $\Delta E : EZ = HE : EZ$ [V, 11]. itaque utraque $\Delta E, HE$ ad EZ eandem rationem habet. ergo $\Delta E = HE$ [V, 9]. eadem de causa etiam $\Delta Z = HZ$. iam quoniam $\Delta E = EH$, et communis est EZ, duae rectae $\Delta E, EZ$ duabus HE, EZ aequales sunt; et $\Delta Z = ZH$. itaque $\angle \Delta EZ = HEZ$ [I, 8], et $\triangle \Delta EZ = \triangle HEZ$, et reliqui anguli reliquis angulis aequales, sub quibus aequalia latera subtendunt [I, 4]. itaque $\angle \Delta ZE = HZE$, $\angle E\Delta Z = EHZ$. et quoniam $\angle ZE\Delta = HEZ$, et $\angle HEZ = AB\Gamma$, erit etiam $\angle AB\Gamma = \Delta EZ$. eadem de causa erit etiam $\angle A\Gamma B = \Delta ZE$, et praeterea angulus ad A positus angulo ad Δ posito. itaque trianguli $AB\Gamma, \Delta EZ$ aequianguli sunt.

Ergo si duo trianguli latera proportionalia habent, aequianguli erunt trianguli et eos angulos aequales habebunt, sub quibus correspondentia latera subtendunt; quod erat demonstrandum.

VI.

Si duo trianguli unum angulum uni angulo aequalem

---

om. BFp. *καὶ ὡς ἄρα* P. 5. *τήν*] bis om. BFp. 6. *HE*] *EH* V. 7. *τά*] om. p. 8. *ἴση ἐστίν* p. 10. *εἰσί* Vp. *ΔZ*] *ZΔ* P. *ZH*] post ras. 1 litt. V. 11. *ἐστιν*] om. P. 13. Post *ἴσον* add. *ἐστί* Bp, F m. 2, V m. 2. 14. Post *ἴσαι* add. *ἔσονται* Bp, F m. 2. 15. *ἐστίν* PB. *ΔZE*] *ΔEZ* F. *HZE*] *H* supra m. 1 F. 17. *ἴση ἐστίν* φ. *ἀλλά* P. 18. *ABΓ*] (prius) *ABΓ ἐστιν ἴση* V. 19. *ἡ*] *ἡ μέν* P. *AΓB*] *ABΓ* p. 20. *ἔτι*] e corr. V. *τῷ*] bis *τό* B et V (corr. m. 2). 21. *Δ ἐστιν ἴση* FV. *ἐστίν* P.

νίᾳ ἴσην ἔχῃ, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, ὑφ' ἃς αἱ ὁμόλογοι πλευραὶ ὑποτείνουσιν.

Ἔστω δύο τρίγωνα τὰ $AB\Gamma$, ΔEZ μίαν γωνίαν τὴν ὑπὸ $BA\Gamma$ μιᾷ γωνίᾳ τῇ ὑπὸ $E\Delta Z$ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν BA πρὸς τὴν $A\Gamma$, οὕτως τὴν $E\Delta$ πρὸς τὴν ΔZ· λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ $AB\Gamma$ τρίγωνον τῷ ΔEZ τριγώνῳ καὶ ἴσην ἕξει τὴν ὑπὸ $AB\Gamma$ γωνίαν τῇ ὑπὸ ΔEZ, τὴν δὲ ὑπὸ $A\Gamma B$ τῇ ὑπὸ ΔZE.

Συνεστάτω γὰρ πρὸς τῇ ΔZ εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς Δ, Z ὁποτέρᾳ μὲν τῶν ὑπὸ $BA\Gamma$, $E\Delta Z$ ἴση ἡ ὑπὸ $Z\Delta H$, τῇ δὲ ὑπὸ $A\Gamma B$ ἴση ἡ ὑπὸ ΔZH· λοιπὴ ἄρα ἡ πρὸς τῷ B γωνία λοιπῇ τῇ πρὸς τῷ H ἴση ἐστίν.


Ἰσογώνιον ἄρα ἐστὶ τὸ $AB\Gamma$ τρίγωνον τῷ ΔHZ τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ BA πρὸς τὴν $A\Gamma$, οὕτως ἡ $H\Delta$ πρὸς τὴν ΔZ. ὑπόκειται δὲ καὶ ὡς ἡ BA πρὸς τὴν $A\Gamma$, οὕτως ἡ $E\Delta$ πρὸς τὴν ΔZ· καὶ ὡς ἄρα ἡ $E\Delta$ πρὸς τὴν ΔZ, οὕτως ἡ $H\Delta$ πρὸς τὴν ΔZ. ἴση ἄρα ἡ $E\Delta$ τῇ ΔH· καὶ κοινὴ ἡ ΔZ· δύο δὴ αἱ $E\Delta$, ΔZ δυσὶ ταῖς $H\Delta$, ΔZ ἴσαι εἰσίν· καὶ γωνία ἡ ὑπὸ $E\Delta Z$ γωνίᾳ τῇ ὑπὸ $H\Delta Z$ [ἐστιν] ἴση· βάσις ἄρα ἡ EZ βάσει τῇ HZ ἐστιν ἴση, καὶ τὸ ΔEZ τρίγωνον τῷ $H\Delta Z$ τριγώνῳ ἴσον ἐστίν, καὶ

---

7. *ἴσας*] m. 2 V. 8. *τὴν ΑΓ*] *ΑΓ* BFp. *πρός*] supra m. rec. P. *τήν*] om. BFp. *ΔZ*] eras. V; mutat. in *ΔE* F; *ZΔ* Bp. 9. *ἐστιν* P, comp. p. 10. *τῶν ΑΒΓ* F. 11. *τήν*] *τῇ* V, corr. m. rec. *ΑΓΒ*] e corr. m. 2 V. 12. *πρὸς μέν* BFVp. *τὴν ΔZ εὐθεῖαν* V, corr. m. 2. 13. *αὐτῆς* B.

habent et latera aequales angulos comprehendentia proportionalia, aequianguli erunt trianguli et eos angulos aequales habebunt, sub quibus correspondentia latera subtendunt.

Sint duo trianguli $AB\Gamma$, ΔEZ unum angulum $BA\Gamma$ uni angulo $E\Delta Z$ aequalem habentes et latera aequales angulos comprehendentia proportionalia, ita ut sit $BA : A\Gamma = E\Delta : \Delta Z$. dico, triangulos $AB\Gamma$, ΔEZ aequiangulos esse et habituros esse $\angle AB\Gamma = \Delta EZ$, $\angle A\Gamma B = \Delta ZE$.



construatur enim ad rectam ΔZ et puncta eius Δ, Z utrique angulo $BA\Gamma$, $E\Delta Z$ aequalis $\angle Z\Delta H$ et $\angle \Delta ZH = A\Gamma B$ [I, 23]. itaque qui relinquitur angulus ad B positus reliquo angulo ad H posito aequalis est [I, 32]. itaque trianguli $AB\Gamma$, ΔHZ aequianguli sunt. quare erit $BA : A\Gamma = H\Delta : \Delta Z$ [prop. IV]. supposuimus autem, esse etiam $BA : A\Gamma = E\Delta : \Delta Z$. quare [V, 11] $E\Delta : \Delta Z = H\Delta : \Delta Z$. itaque $E\Delta = \Delta H$ [V, 9]; et communis est ΔZ. itaque duae rectae $E\Delta$, ΔZ duabus $H\Delta$, ΔZ aequales sunt; et $\angle E\Delta Z = H\Delta Z$. quare $EZ = HZ$ et $\triangle \Delta EZ = H\Delta Z$, et reliqui anguli reliquis aequales erunt,

---

14. $E\Delta Z$ *γωνία ἴση* V. 15. *τῷ*] *τό* V, corr. m. 2. *γωνία*] post ras. 1 litt. P; om. Theon (BFVp). 16. *τῷ*] *τό* V, corr. m. 2. 17. *ἐστίν* Pφ, comp. p. ΔHZ] ΔEZ φ. 18. *τήν*] om. BFp. 19. $H\Delta$] litt. H m. 2 V; $E\Delta$ B, corr. m. 2. *τήν*] om. BFp. 20. *τήν*] bis om. BFp. $E\Delta$] ΔE F; $H\Delta$ B, corr. m. 2. 21. $E\Delta$] $B\Delta$ φ. *τήν*] om. BFp. ΔZ] $Z\Delta$ V, corr. m. 2. $H\Delta$] ex ΔH m. rec. P. 22. *τήν*] om. BFp. 23. *εἰσί* Vp. 24. *γωνία ἄρα* F. *ἐστιν*] om. P. 25. HZ] ZH P. 26. *ἐστι* BV, comp. p.

αἱ λοιπαὶ γωνίαι ταῖς λοιπαῖς γωνίαις ἴσαι ἔσονται, ὑφ' ἃς αἱ ἴσαι πλευραὶ ὑποτείνουσιν. ἴση ἄρα ἐστὶν ἡ μὲν ὑπὸ ΔΖΗ τῇ ὑπο ΔΖΕ, ἡ δὲ ὑπο ΔΗΖ τῇ ὑπὸ ΔΕΖ. ἀλλ' ἡ ὑπο ΔΖΗ τῇ ὑπο ΑΓΒ ἐστιν ἴση· καὶ ἡ υπὸ ΑΓΒ ἄρα τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση. ὑπόκειται δὲ καὶ ι ὑπο ΒΑΓ τῇ ὑπὸ ΕΔΖ ἴση· καὶ λοιπη ἄρα ἡ πρὸς τῷ Β λοιπῇ τῇ πρὸς τῷ Ε ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ τας ἴσας γωνίας τας πλευρας ἀνάλογον, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τας γωνίας, ὑφ' ἃς ὁμόλογοι πλευραὶ ὑποτείνουσιν· ὅπερ ἔδει δεῖξαι.

ϛ′.

Ἐὰν δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ ἄλλας γωνίας τὰς πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα ἤτοι ἐλάσσονα ἢ μὴ ἐλάσσονα ὀρθῆς, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευραί.

Ἔστω δύο τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα τὴν ὑπὸ ΒΑΓ τῇ ὑπὸ ΕΔΖ, περὶ δὲ ἄλλας γωνίας τὰς ὑπὸ ΑΒΓ, ΔΕΖ τὰς πλευρὰς ἀνάλογον, ὡς τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, τῶν δὲ λοιπῶν τῶν

---


1. ἔσονται ἑκατέρα ἑκατέρα Theon (BFVp). 3. ὑπὸ ΔΗΖ] Peyrardus, ὑπὸ ΔΕΖ P; πρὸς τῷ Η Theon (BFVp; τό pro τῷ V, corr. m. 2). 4. ὑπὸ ΔΕΖ] Peyrardus; ὑπὸ ΔΗΖ P; πρὸς τῷ Ε Theon (BFVp; τό pro τῷ V, corr. m. 2). ἀλλά P. ΑΓΒ] ΒΓΑ P, Α in ras. 6. καὶ ἡ — ἐστιν ἴση]

sub quibus aequalia latera subtendunt [I, 4]. itaque $\angle \Delta ZH = \Delta ZE$, $\angle \Delta HZ = \Delta EZ$. uerum $\angle \Delta ZH = A\Gamma B$. quare etiam $\angle A\Gamma B = \Delta ZE$. supposuimus autem, esse etiam $\angle BA\Gamma = E\Delta Z$. itaque etiam qui relinquitur angulus ad B positus, reliquo angulo ad E posito aequalis est [I, 32]. itaque trianguli $AB\Gamma$, ΔEZ aequianguli sunt.

Ergo si duo trianguli unum angulum uni angulo aequalem habent et latera aequales angulos comprehendentia proportionalia, aequianguli erunt trianguli et eos angulos aequales habebunt, sub quibus correspondentia latera subtendunt; quod erat demonstrandum.

VII.

Si duo trianguli unum angulum uni angulo aequalem habent et latera alios duos angulos comprehendentia proportionalia et reliquos angulos singulos simul aut minores aut non minores recto, trianguli aequianguli erunt et eos angulos aequales habebunt, quos latera proportionalia comprehendunt.



Sint duo trianguli $AB\Gamma$, ΔEZ unum angulum uni angulo aequalem habentes, $\angle BA\Gamma = E\Delta Z$, et latera alios duos angulos comprehendentia proportionalia, $AB : B\Gamma = \Delta E : EZ$, et reliquos angulos, qui ad Γ, Z positi sunt, prius singulos simul recto

om. p. 7. *τῷ*] *τό* P. *τῷ*] e corr. P. 8. *ἐστί*] *ἐστίν* P, comp. p. 19. *ἐλάττονα* bis F. Prius *ἐλάσσονα* corr. ex *ἔλασσον* m. 2 P. 23. *μιᾷ γωνίᾳ*] punctis notat. F. 24. $E\Delta Z$] corr. ex ΔEZ m. rec. P. $AB\Gamma$] $BA\Gamma$ φ; $AB\Delta$ p. 25. *τὴν* $B\Gamma$] $B\Gamma$ BFp. 26. *τήν* EZ] EZ BFp.

πρὸς τοῖς Γ, Ζ πρότερον ἑκατέραν ἅμα ἐλάσσονα ὀρθῆς· λέγω, ὅτι ἰσογώνιόν ἐστι τὸ ΑΒΓ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ, καὶ ἴση ἔσται ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, καὶ λοιπὴ δηλονότι ἡ πρὸς τῷ Γ λοιπῇ τῇ πρὸς τῷ Ζ ἴσῃ.

Εἰ γὰρ ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ, μία αὐτῶν μείζων ἐστίν. ἔστω μείζων ἡ ὑπὸ ΑΒΓ. καὶ συνεστάτω πρὸς τῇ ΑΒ εὐθείᾳ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ Β τῇ ὑπὸ ΔΕΖ γωνίᾳ ἴση ἡ ὑπὸ ΑΒΗ.

Καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν Α γωνία τῇ Δ, ἡ δὲ ὑπὸ ΑΒΗ τῇ ὑπὸ ΔΕΖ, λοιπὴ ἄρα ἡ ὑπὸ ΑΗΒ λοιπῇ τῇ ὑπὸ ΔΖΕ ἐστιν ἴση. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΑΒ πρὸς τὴν ΒΗ, οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΖ. ὡς δὲ ἡ ΔΕ πρὸς τὴν ΕΖ, [οὕτως] ὑπόκειται ἡ ΑΒ πρὸς τὴν ΒΓ· ἡ ΑΒ ἄρα πρὸς ἑκατέραν τῶν ΒΓ, ΒΗ τὸν αὐτὸν ἔχει λόγον· ἴση ἄρα ἡ ΒΓ τῇ ΒΗ. ὥστε καὶ γωνία ἡ πρὸς τῷ Γ γωνίᾳ τῇ ὑπὸ ΒΗΓ ἐστιν ἴση. ἐλάττων δὲ ὀρθῆς ὑπόκειται ἡ πρὸς τῷ Γ· ἐλάττων ἄρα ἐστὶν ὀρθῆς καὶ ἡ ὑπὸ ΒΗΓ· ὥστε ἡ ἐφεξῆς αὐτῇ γωνία ἡ ὑπὸ ΑΗΒ μείζων ἐστὶν ὀρθῆς. καὶ ἐδείχθη ἴση οὖσα τῇ πρὸς τῷ Ζ· καὶ ἡ πρὸς τῷ Ζ ἄρα μείζων ἐστὶν ὀρθῆς. ὑπόκειται δὲ ἐλάσσων ὀρθῆς· ὅπερ ἐστὶν ἄτοπον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ὑπὸ ΑΒΓ γωνία τῇ ὑπὸ ΔΕΖ· ἴση

---

1. *ἐλάττονα* F. 2. *ἐστιν* P, comp. p. 3. *ἔσται*] *ἐστίν* F. 10. *ΑΒΗ*] *Η* e corr. p. 12. *γωνίᾳ τῇ* V. 13. *λοιπῇ*] supra m. 1 F. *ἐστί*] comp. p; *ἐστίν* PF. 15. *τήν*] bis om. BFp. 16. *ὡς δέ*] *ὑπόκειται δὲ καὶ ὡς* Bp. *τήν*] om. BFp. *οὕτως ὑπόκειται*] *ὑπόκειται* FV; *οὕτως* Bp; *ὑπόκειται οὕτως* P. 17. *τήν*] om. BFp. Post *ΒΓ* add.

minores. dico, aequiangulos esse triangulos $AB\Gamma$, ΔEZ, et $\angle AB\Gamma = \Delta EZ$, et, ut inde adparet, qui relinquitur angulus ad Γ positus, reliquo angulo ad Z posito aequalem esse.

nam si $\angle AB\Gamma$ angulo ΔEZ inaequalis est, alteruter eorum maior est. sit maior $\angle AB\Gamma$, et construatur ad rectam AB et punctum eius B $\angle ABH = \Delta EZ$ [I, 23]. et quoniam $\angle A = \angle \Delta$ et $\angle ABH = \Delta EZ$, erit $\angle AHB = \Delta ZE$ [I, 32]. itaque trianguli ABH, ΔEZ aequianguli sunt. quare $AB : BH = \Delta E : EZ$ [prop. IV]. sed supposuimus, esse $\Delta E : EZ = AB : B\Gamma$. itaque AB ad utramque $B\Gamma$, BH eandem rationem habet [V, 11]. quare $B\Gamma = BH$ [V, 9]. itaque etiam angulus ad Γ positus angulo $BH\Gamma$ aequalis est [I, 5]. supposuimus autem, angulum ad Γ positum minorem esse recto; quare etiam $\angle BH\Gamma$ minor est recto. itaque angulus deinceps positus AHB maior est recto [I, 13]. et demonstratum est, eum angulo ad Z posito aequalem esse. quare etiam angulus ad Z positus maior est recto. supposuimus autem, eum recto minorem esse; quod absurdum est. itaque $\angle AB\Gamma$ angulo ΔEZ inaequalis non est; aequalis igitur. uerum etiam angulus ad A positus angulo ad Δ posito aequalis est. quare etiam qui relinquitur angulus ad Γ positus, reliquo angulo ad Z posito aequalis est [I, 32]. ergo trianguli $AB\Gamma$, ΔEZ aequianguli sunt.

Theon: *καὶ ὡς ἄρα ἡ AB πρὸς τὴν BΓ, οὕτως ἡ AB πρὸς τὴν BH* (V et bis omisso *τήν* BFp). 18. *ἄρα ἐστίν* P. 19. *πρὸς τῷ Γ*] corr. ex *ὑπὸ BHΓ* m. 2 V. *BHΓ*] corr. ex *BΓH* m. 2 V. 20. *ἐλάσσων* p. 21. *καί*] om. P. 22. *αὐτῆς* P. 23. *τῷ*] corr. ex *τό* m. 1 B. 25. *ἐλάττων* F. *ἐστίν*] om. V. 26. *ΔEZ*] *EΔZ* p.

ἄρα. ἔστι δὲ καὶ ἡ πρὸς τῷ *A* ἴση τῇ πρὸς τῷ *Δ*· καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ *Γ* λοιπῇ τῇ πρὸς τῷ *Z* ἴση ἐστίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ *ΑΒΓ* τρίγωνον τῷ *ΔΕΖ* τριγώνῳ.

Ἀλλὰ δὴ πάλιν ὑποκείσθω ἑκατέρα τῶν πρὸς τοῖς *Γ*, *Z* μὴ ἐλάσσων ὀρθῆς· λέγω πάλιν, ὅτι καὶ οὕτως ἐστὶν ἰσογώνιον τὸ *ΑΒΓ* τρίγωνον τῷ *ΔΕΖ* τριγώνῳ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι ἴση ἐστὶν ἡ *ΒΓ* τῇ *ΒΗ*· ὥστε καὶ γωνία ἡ πρὸς τῷ *Γ* τῇ ὑπὸ *ΒΗΓ* ἴση ἐστίν. οὐκ ἐλάττων δὲ ὀρθῆς ἡ πρὸς τῷ *Γ*· οὐκ ἐλάττων ἄρα ὀρθῆς οὐδὲ ἡ ὑπὸ *ΒΗΓ*. τριγώνου δὴ τοῦ *ΒΗΓ* αἱ δύο γωνίαι δύο ὀρθῶν οὐκ εἰσιν ἐλάττονες· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα πάλιν ἄνισός ἐστιν ἡ ὑπὸ *ΑΒΓ* γωνία τῇ ὑπὸ *ΔΕΖ*· ἴση ἄρα. ἔστι δὲ καὶ ἡ πρὸς τῷ *Α* τῇ πρὸς τῷ *Δ* ἴση· λοιπὴ ἄρα ἡ πρὸς τῷ *Γ* λοιπῇ τῇ πρὸς τῷ *Z* ἴση ἐστίν. ἰσογώνιον ἄρα ἐστὶ τὸ *ΑΒΓ* τρίγωνον τῷ *ΔΕΖ* τριγώνῳ.

Ἐὰν ἄρα δύο τρίγωνα μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχῃ, περὶ δὲ ἄλλας γωνίας τας πλευρὰς ἀνάλογον, τῶν δὲ λοιπῶν ἑκατέραν ἅμα ἐλάττονα ἢ μὴ ἐλάττονα ὀρθῆς, ἰσογώνια ἔσται τὰ τρίγωνα καὶ ἴσας ἕξει τὰς γωνίας, περὶ ἃς ἀνάλογόν εἰσιν αἱ πλευραί· ὅπερ ἔδει δεῖξαι.

η′.


Ἐὰν ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ, τὰ

---

1. *ἐστίν* B. Post *A* add. *σημείῳ* Bp, supra F, m. 2 V. 3. *ἐστί*] *ἐστίν* P, comp. p. 6. *ἐλάττων* F. *πάλιν ὅτι*] m. 2 V. 7. *ἰσογώνιόν ἐστιν* P. 8. *ὁμοίως δή* BVp. 10. *ἐλάσσων* p. 11. *ἐλάσσων* p. 12. *οὐδέ*] om. V. *ἡ*] m.

iam rursus supponamus, utrumque angulum ad Γ, Z positum recto minorem non esse. dico rursus, sic quoque triangulos $AB\Gamma$, ΔEZ aequiangulos esse.

nam iisdem comparatis similiter demonstrabimus, esse $B\Gamma = BH$. quare etiam angulus ad Γ positus angulo $BH\Gamma$ aequalis est [I, 5]. angulus autem ad Γ positus recto minor non est. quare ne $\angle BH\Gamma$ quidem recto minor est. itaque trianguli $BH\Gamma$ duo anguli duobus rectis minores non sunt; quod fieri non potest [I, 17]. rursus igitur $\angle AB\Gamma$ angulo ΔEZ inaequalis non est; aequalis igitur. uerum etiam angulus ad A positus angulo ad Δ posito aequalis est. itaque qui relinquitur angulus ad Γ positus, reliquo angulo ad Z posito aequalis est [I, 32]. ergo trianguli $AB\Gamma$, ΔEZ aequianguli sunt.



Ergo si duo trianguli unum angulum uni angulo aequalem habent et latera alios duos angulos comprehendentia proportionalia et reliquos angulos singulos simul aut minores aut non minores recto, trianguli aequianguli erunt et eos angulos aequales habebunt, quos latera proportionalia comprehendunt; quod erat demonstrandum.

VIII.

Si in triangulo rectangulo ab angulo recto ad

---

2 P. *δή*] *δέ* V. 13. *ἐλάσσονες* V. 15. *ἐστίν* PB; comp. p. 16. *ἴση*] insert. postea F. 17. *ἐστί*] *ἐστίν* PF; comp. p. 20. *ἔχῃ*] corr. ex *ἔχει* m. 2 P. *τάς*] om. V. 21. *ἅμα ἤτοι* V. 26. *ἀπό*] *ὑπό* V; corr. m. 2.

πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις.

Ἔστω τρίγωνον ὀρθογώνιον τὸ $AB\Gamma$ ὀρθὴν ἔχον τὴν ὑπο $B A\Gamma$ γωνίαν, καὶ ἤχθω ἀπὸ τοῦ A ἐπὶ τὴν $B\Gamma$ κάθετος ἡ $A\Delta$· λέγω, ὅτι ὅμοιόν ἐστιν ἑκάτερον τῶν $AB\Delta$, $A\Delta\Gamma$ τριγώνων ὅλῳ τῷ $AB\Gamma$ καὶ ἔτι ἀλλήλοις.


Ἐπεὶ γὰρ ἴση ἐστὶν ἡ ὑπὸ $BA\Gamma$ τῇ ὑπο $A\Delta B$· ὀρθὴ γὰρ ἑκατέρα· καὶ κοινὴ τῶν δύο τριγώνων τοῦ τε $AB\Gamma$ καὶ τοῦ $AB\Delta$ ἡ πρὸς τῷ B, λοιπὴ ἄρα ἡ ὑπὸ $A\Gamma B$ λοιπῇ τῇ ὑπο $BA\Delta$ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ το $AB\Gamma$ τρίγωνον τῷ $AB\Delta$ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ $B\Gamma$ ὑποτείνουσα τὴν ὀρθὴν τοῦ $AB\Gamma$ τριγώνου πρὸς τὴν BA ὑποτείνουσαν την ὀρθὴν τοῦ $AB\Delta$ τριγώνου, οὕτως αὐτὴ ἡ AB ὑποτείνουσα τὴν πρὸς τῷ Γ γωνίαν τοῦ $AB\Gamma$ τριγώνου πρὸς τὴν $B\Delta$ ὑποτείνουσαν τὴν ἴσην τὴν ὑπο $BA\Delta$ τοῦ $AB\Delta$ τριγώνου, καὶ ἔτι ἡ $A\Gamma$ πρὸς τὴν $A\Delta$ ὑποτείνουσαν τὴν πρὸς τῷ B γωνίαν κοινὴν τῶν δύο τριγώνων. τὸ $AB\Gamma$ ἄρα τρίγωνον τῷ $AB\Delta$ τριγώνῳ ἰσογώνιόν τέ ἐστι καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει. ὅμοιον ἄρα [ἐστὶ] τὸ $AB\Gamma$ τρίγωνον τῷ $AB\Delta$ τριγώνῳ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τῷ $A\Delta\Gamma$ τριγώνῳ ὅμοιόν ἐστι τὸ

---

1. *ἐστιν* F. 4. *γωνίαν*] om. p. 5. *BΓ*] *AΓ* V. *AΔ*] *ΔA* P. *ἐστι* FV. 8. *ὑπό*] postea ins. F. *BAΓ γωνία* FV. *AΔB*] *ABΔ* V, corr. m. 2. 12. *τῷ*] corr. ex *τῶν* m. 1 P. *ABΔ*] *B* supra m. 1 F. 13. *BΓ*] *ΓB* B et seq. ras. 1 litt. F. *τήν*] post ras. 1 litt. V. 14. *ABΓ*] *Γ* in ras. m. 2 V. *BA*] in ras. m. 2 V. *ὑποτείνουσαν*] corr. ex *ὑποτείνουσα* m. rec. P; in ras. m. 2 V. 15. *ὑποτείνουσαι* F, *ι* eras. 17. *BΔ*] *BΔ τήν* F. *ὑποτείνουσαν τὴν ἴσην τῇ πρὸς τῷ Γ* in

basim perpendicularis ducitur, trianguli ad perpendicularem positi similes erunt et toti et inter se.

Sit triangulus rectangulus $AB\Gamma$ rectum habens angulum $BA\Gamma$, et ab A ad $B\Gamma$ perpendicularis ducatur $A\Delta$. dico, utrumque triangulum $AB\Delta$, $A\Delta\Gamma$ et toti $AB\Gamma$ et inter se similes esse.



nam quoniam $\angle BA\Gamma = A\Delta B$ (uterque enim rectus est), et duorum triangulorum $AB\Gamma$, $AB\Delta$ communis est angulus ad B positus, erit $\angle A\Gamma B = BA\Delta$ [I, 32]. itaque trianguli $AB\Gamma$, $AB\Delta$ aequianguli sunt. erit igitur $B\Gamma : BA = AB : B\Delta = A\Gamma : A\Delta$ [prop. IV]; nam $B\Gamma$ sub recto angulo trianguli $AB\Gamma$ subtendit et BA sub recto angulo trianguli $AB\Delta$, et rursus AB in triangulo $AB\Gamma$ sub angulo ad Γ posito subtendit et $B\Delta$ in triangulo $AB\Delta$ sub angulo ei aequali $BA\Delta$, et $A\Gamma$, $A\Delta$ sub angulo ad B posito utriusque trianguli communi subtendunt. itaque trianguli $AB\Gamma$, $AB\Delta$ et aequianguli sunt et latera aequales angulos comprehendentia proportionalia habent. itaque $\triangle AB\Gamma \sim AB\Delta$ [def. 1]. similiter demonstrabimus,

---

ras. m. 2 V. *ἴσην αὐτῆς* F. 18. $AB\Delta$] $AB\Gamma$ P. *ἡ*] inter duas ras. F. Post $A\Gamma$ add. F: *ὑποτείνουσα τὴν πρὸς τῷ B γωνίαν τοῦ ΑΒΓ τριγώνου*, sed del. m. 1. 19. *ὑποτείνουσαι* (*ι* in ras.) post ras. 1 litt. F, *ὑποτείνουσα* Bp. *B*] seq. ras. 1 litt. F. 20. *αὐτῶν τῶν* V. *ἄρα*] postea ins. F; m. 2 V. $AB\Delta$ *ἄρα* V. 21. *ἐστιν* P, comp. p. 22. *ἐστί*] om. P. 24. *ἐστιν* P; comp. p.

ΑΒΓ τρίγωνον· ἑκάτερον ἄρα τῶν ΑΒΔ, ΑΔΓ [τριγώνων] ὅμοιόν ἐστιν ὅλῳ τῷ ΑΒΓ.

Λέγω δή, ὅτι καὶ ἀλλήλοις ἐστὶν ὅμοια τὰ ΑΒΔ, ΑΔΓ τρίγωνα.

Ἐπεὶ γὰρ ὀρθὴ ἡ ὑπὸ ΒΔΑ ὀρθῇ τῇ υπὸ ΑΔΓ ἐστιν ἴση, ἀλλὰ μὴν καὶ ἡ ὑπο ΒΑΔ τῇ πρὸς τῷ Γ ἐδείχθη ἴση, καὶ λοιπὴ ἄρα ἡ πρὸς τῷ Β λοιπῇ τῇ ὑπὸ ΔΑΓ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΔ τρίγωνον τῷ ΑΔΓ τριγώνῳ. ἔστιν ἄρα ὡς ἡ ΒΔ τοῦ ΑΒΔ τριγώνου ὑποτείνουσα τὴν ὑπὸ ΒΑΔ πρὸς τὴν ΔΑ τοῦ ΑΔΓ τριγώνου ὑποτείνουσαν τὴν πρὸς τῷ Γ ἴσην τῇ ὑπὸ ΒΑΔ, οὕτως αὐτὴ ἡ ΑΔ τοῦ ΑΒΔ τριγώνου ὑποτείνουσα τὴν πρὸς τῷ Β γωνίαν πρὸς τὴν ΔΓ ὑποτείνουσαν τὴν ὑπὸ ΔΑΓ τοῦ ΑΔΓ τριγώνου ἴσην τῇ πρὸς τῷ Β, καὶ ἔτι ἡ ΒΑ πρὸς τὴν ΑΓ ὑποτείνουσαι τὰς ὀρθάς· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΔ τρίγωνον τῷ ΑΔΓ τριγώνῳ.

Ἐὰν ἄρα ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἀχθῇ, τὰ πρὸς τῇ καθέτῳ τρίγωνα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις [ὅπερ ἔδει δεῖξαι].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν ἐν ὀρθογωνίῳ τριγώνῳ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ την βάσιν κάθετος ἀχθῇ, ἡ ἀχθεῖσα τῶν τῆς βάσεως τμημάτων μέση ἀνάλογόν ἐστιν· ὅπερ ἔδει δεῖξαι [καὶ ἔτι τῆς

---

1. *τρίγωνον*] om. BFp. 2. *τριγώνων*] om. P. *ὅμοιόν ἐστιν ὅλῳ*] om. V. *ΑΒΓ τριγώνῳ ὅλῳ ὅμοιόν ἐστιν* V. 5. *ΒΔΑ*] *Β* e corr. m. 2 V. 7. *λοιπῇ*] corr. ex *λοιπῆς* m. 1 F. 8. *ἐστί*] *ἐστίν* PF. 11. *τὴν ΔΑ*] *τῇ ΔΑ* F; corr.

esse etiam $\triangle A\Delta\Gamma \sim AB\Gamma$. ergo uterque triangulus $AB\Delta$, $A\Delta\Gamma$ triangulo toti $AB\Gamma$ similis est.

iam dico, triangulos $AB\Delta$, $A\Delta\Gamma$ etiam inter se similes esse.

nam quoniam $\angle B\Delta A = A\Delta\Gamma$ (recti enim), et demonstratum est, $\angle BA\Delta$ angulo ad Γ posito aequalem esse, etiam qui relinquitur angulus ad B positus, angulo $\Delta A\Gamma$ aequalis erit [I, 32]. itaque trianguli $AB\Delta$, $A\Delta\Gamma$ aequianguli sunt. est igitur $B\Delta : \Delta A = A\Delta : \Delta\Gamma = BA : A\Gamma$ [prop. IV]; nam $B\Delta$ in triangulo $AB\Delta$ sub $BA\Delta$ subtendit et ΔA in triangulo $A\Delta\Gamma$ sub angulo ad Γ posito subtendit angulo $BA\Delta$ aequali, et $A\Delta$ in triangulo $AB\Delta$ sub angulo ad B posito subtendit, $\Delta\Gamma$ autem in triangulo $A\Delta\Gamma$ sub $\Delta A\Gamma$ angulo ad B posito aequali, et praeterea BA, $A\Gamma$ sub rectis angulis subtendunt. itaque $\triangle AB\Delta \sim A\Delta\Gamma$ [def. 1].

Ergo si in triangulo rectangulo ab angulo recto ad basim perpendicularis ducitur, trianguli ad perpendicularem positi similes erunt et toti et inter se.

Corollarium.

Hinc manifestum est, si in triangulo rectangulo ab angulo recto ad basim perpendicularis ducatur,

---

m. rec. 14. *ὑποτείνουσαν*] *-ν* eras. F. 15. *τῆ*] corr. ex *τῆς* m. rec. P; seq. ras. 1 litt. V. 16. *πρὸς τὴν ΑΓ*] in ras. F. *ὑποτείνουσα* F. 20. *ἐστιν* F. 23. *ἐν*] om. p. 25. *τμημάτων*] om. p. 26. *ἐστι* B, comp. p. *ὅπερ ἔδει δεῖξαι*] om. BFp. *καὶ ἔτι* — p. 104, 2: *ἐστιν*] postea ins. m. 1 F in ras; mg. m. 2 V.

βάσεως καὶ ἑνὸς ὁποιουοῦν τῶν τμημάτων ἢ πρὸς τῷ τμήματι πλευρὰ μέση ἀνάλογόν ἐστιν].

ϑ′.

Τῆς δοθείσης εὐθείας τὸ προσταχθὲν μέρος 5 *ἀφελεῖν.*

Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ AB· δεῖ δὴ τῆς AB τὸ προσταχθὲν μέρος ἀφελεῖν.

Ἐπιτετάχθω δὴ τὸ τρίτον. [*καὶ*] *διήχθω τις ἀπὸ τοῦ A εὐθεῖα ἡ AΓ γωνίαν περιέχουσα μετὰ τῆς* 10 *AB τυχοῦσαν· καὶ εἰλήφθω τυχὸν σημεῖον ἐπὶ τῆς AΓ τὸ Δ, καὶ κείσθωσαν τῇ AΔ ἴσαι αἱ ΔE, EΓ. καὶ ἐπεξεύχθω ἡ BΓ, καὶ διὰ τοῦ Δ παράλληλος αὐτῇ ἤχθω ἡ ΔZ.*

Ἐπεὶ οὖν τριγώνου τοῦ ABΓ παρὰ μίαν τῶν 15 *πλευρῶν τὴν BΓ ἦκται ἡ ZΔ, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓΔ πρὸς τὴν ΔA, οὕτως ἡ BZ πρὸς τὴν ZA. διπλῆ δὲ ἡ ΓΔ τῆς ΔA· διπλῆ ἄρα καὶ ἡ BZ τῆς ZA· τριπλῆ ἄρα ἡ BA τῆς AZ.*

Τῆς ἄρα δοθείσης εὐθείας τῆς AB τὸ ἐπιταχθὲν 20 *τρίτον μέρος ἀφῄρηται τὸ AZ· ὅπερ ἔδει ποιῆσαι.*

ι′.

Τὴν δοθεῖσαν εὐθεῖαν ἄτμητον τῇ δοθείσῃ τετμημένῃ ὁμοίως τεμεῖν.

X. Simplicius in phys. fol. 114^{v}, 119.

---

1. ὁποτερουοῦν F. 2. Post *ἐστιν* seq. *ὅπερ ἔδει δεῖξαι* BFp, V m. 2. 8. *τρίτον*] ante *-τον* ras. 2 litt. F. *καί*] om. P. *τις εὐθεῖα ἀπὸ τοῦ A ἡ* V. 11. *κείσθωσαν*] mg. m. rec. P. 14. Supra *παρά* in P scr. m. rec. *παράλληλος*. 15. *τήν*] *τῇ* p. *ZΔ*] mutat. in *ΔZ* m. 2 V; *ΔZ* Bp. 16. *τὴν ΔA*] *τῇ ΔA* B, *ΔA* Fp. *τήν*] om. BFp. 17. *τῆς*] *τῇ* p. *καὶ ἡ BZ τῆς ZA· τριπλῆ ἄρα*] mg. m. 1 P. 18. *BA*] *A* in ras. P. 19. *τῆς*] *τῇ* p. *τῆς*] corr. ex *τῇ* m. 1 p.


ductam rectam mediam inter partes basis proportionalem fore. — quod erat demonstrandum.[1])

IX.

A data recta linea partem quamuis datam abscindere.

Sit data recta AB. oportet igitur ab AB quamuis datam partem abscindere.

sit data pars tertia, et ducatur a puncto A recta $A\Gamma$ cum AB quemlibet angulum comprehendens, et sumatur in $A\Gamma$ quoduis punctum Δ, et ponatur $\Delta E = A\Delta = E\Gamma$, et ducatur $B\Gamma$, et per Δ rectae $B\Gamma$ parallela ducatur ΔZ [I, 31].



iam quoniam in triangulo $AB\Gamma$ uni laterum $B\Gamma$ parallela ducta est $Z\Delta$, erit [prop. II]

$\Gamma\Delta : \Delta A = BZ : ZA$. sed $\Gamma\Delta = 2\,\Delta A$. quare etiam $BZ = 2\,ZA$. itaque $BA = 3\,AZ$.

Ergo a data recta AB tertia pars AZ abscisa est, ut iussi eramus; quod oportebat fieri.

X.

Datam rectam lineam non sectam datae sectae congruenter secare.

---

1) Nam demonstrauimus p. 102, 9 sq. $B\Delta : \Delta A = A\Delta : \Delta\Gamma$. reliqua pars corollarii p. 102, 26 sq. sine dubio interpolata est; nam et post sollemnem illum finem demonstrationum corollariorumque *ὅπερ ἔδει δεῖξαι* p. 102, 26 additur et a bonis codd. Theoninis aberat nec usquam usui est. habet tamen Campanus et P, quamquam sine clausula illa. itaque et in nonnullis codd. ante Theonem et in quibusdam Theoninis simul sponte interpolata est.

---

20. *τρίτον*] in ras. F. 22. *δοθείσῃ*] P, Simplicius, Campanus; *δοθείσῃ εὐθείᾳ* Theon (BFVp).

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἄτμητος ἡ AB, ἡ δὲ τετμημένη ἡ $A\Gamma$ κατὰ τὰ Δ, E σημεῖα, καὶ κείσθωσαν ὥστε γωνίαν τυχοῦσαν περιέχειν, καὶ ἐπεζεύχθω ἡ ΓB, καὶ διὰ τῶν Δ, E τῇ $B\Gamma$ παράλληλοι ἤχθωσαν αἱ ΔZ, EH, διὰ δὲ τοῦ Δ τῇ AB παράλληλος ἤχθω ἡ $\Delta\Theta K$.

Παραλληλόγραμμον ἄρα ἐστὶν ἑκάτερον τῶν $Z\Theta$, ΘB· ἴση ἄρα ἡ μὲν $\Delta\Theta$ τῇ ZH, ἡ δὲ ΘK τῇ HB. καὶ ἐπεὶ τριγώνου τοῦ $\Delta K\Gamma$ παρὰ μίαν τῶν πλευρῶν τὴν $K\Gamma$ εὐθεῖα ἦκταί ἡ ΘE, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΓE πρὸς τὴν $E\Delta$, οὕτως ἡ $K\Theta$ πρὸς τὴν $\Theta\Delta$. ἴση δὲ ἡ μὲν $K\Theta$ τῇ BH, ἡ δὲ $\Theta\Delta$ τῇ HZ. ἔστιν ἄρα ὡς ἡ ΓE πρὸς τὴν $E\Delta$, οὕτως ἡ BH πρὸς τὴν HZ. πάλιν, ἐπεὶ τριγώνου τοῦ AHE παρὰ μίαν τῶν πλευρῶν τὴν HE ἦκταί ἡ $Z\Delta$, ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ $E\Delta$ πρὸς τὴν ΔA, οὕτως ἡ HZ πρὸς τὴν ZA. ἐδείχθη δὲ καὶ ὡς ἡ ΓE πρὸς τὴν $E\Delta$, οὕτως ἡ BH πρὸς τὴν HZ· ἔστιν ἄρα ὡς μὲν ἡ ΓE πρὸς τὴν $E\Delta$, οὕτως ἡ BH πρὸς τὴν HZ, ὡς δὲ ἡ $E\Delta$ πρὸς τὴν ΔA, οὕτως ἡ HZ πρὸς τὴν ZA.

Ἡ ἄρα δοθεῖσα εὐθεῖα ἄτμητος ἡ AB τῇ δοθείσῃ εὐθείᾳ τετμημένῃ τῇ $A\Gamma$ ὁμοίως τέτμηται· ὅπερ ἔδει ποιῆσαι·


ια'.

Δύο δοθεισῶν εὐθειῶν τρίτην ἀνάλογον προσευρεῖν.

---

2. Post $A\Gamma$ add. V: δεῖ δὴ τὴν AB ἄτμητον τῇ $A\Gamma$ τετμημένῃ ὁμοίως τεμεῖν. ἔστω τετμημένη ἡ $A\Gamma$. 4. ΓB] $B\Gamma$ Bp, V e corr. m. 2. 5. δέ] om. p. 8. HB] MB F, corr.

Sit data recta linea non secta AB, recta autem $A\Gamma$ secta in punctis Δ, E, et ponantur ita, ut quemlibet angulum comprehendant, et ducatur ΓB, et per Δ, E rectae $B\Gamma$ parallelae ducantur ΔZ, EH, et per Δ rectae AB parallela ducatur $\Delta\Theta K$ [I, 31]. itaque utrumque $Z\Theta$, ΘB parallelogrammum est. quare



$$\Delta\Theta = ZH \text{ et } \Theta K = HB$$

[I, 34]. et quoniam in triangulo $\Delta K\Gamma$ uni lateri $K\Gamma$ parallela ducta est recta ΘE, erit $\Gamma E : E\Delta = K\Theta : \Theta\Delta$ [prop. II]. sed $K\Theta = BH$, $\Theta\Delta = HZ$. itaque $\Gamma E : E\Delta = BH : HZ$. rursus quoniam in triangulo AHE uni lateri HE parallela ducta est $Z\Delta$, erit $E\Delta : \Delta A = HZ : ZA$ [prop. II]. et demonstratum est, esse etiam $\Gamma E : E\Delta = BH : HZ$. itaque

$$\Gamma E : E\Delta = BH : HZ \text{ et } E\Delta : \Delta A = HZ : ZA.$$

Ergo data recta linea non secta AB datae rectae lineae sectae $A\Gamma$ congruenter secta est; quod oportebat fieri.

XI.

Datis duabus rectis tertiam proportionalem inuenire.

---

m. 2. 9. *καί*] postea ins. F. 11. *τὴν* $E\Delta$] $E\Delta$ Bp et in ras. F. $K\Theta$] corr. m. 2 ex ΘK V. 12. *τήν*] om. BFp. 13. *πρὸς τήν*] *πρός* BFp, et sic deinde per totam prop. 15. HE] corr. ex EH m. 2 V. 17. *ἡ*] postea ins. F. 18. *οὕτως*] m. 2 V. *ἔστιν ἄρα ὡς — 20: τὴν HZ*] postea insert. in ras. m. 1 F; mg. m. 2 V. 19. *τὴν HZ*] HZ etiam V. 20. $E\Delta$] corr. ex ΔE m. rec. P. *πρὸς* ΔA *οὕτως* bis F. *ἡ*] ins. m. rec. P. 24. *ποιῆσαι*] in ras. m. 1 P.

Ἔστωσαν αἱ δοθεῖσαι [δύο εὐθεῖαι] αἱ BA, AΓ καὶ κείσθωσαν γωνίαν περιέχουσαι τυχοῦσαν. δεῖ δὴ τῶν BA, AΓ τρίτην ἀνάλογον προσευρεῖν. ἐκβεβλήσθωσαν γὰρ ἐπὶ τὰ Δ, E σημεῖα, καὶ κείσθω τῇ AΓ ἴση ἡ BΔ, καὶ ἐπεζεύχθω ἡ BΓ, καὶ διὰ τοῦ Δ παράλληλος αὐτῇ ἤχθω ἡ ΔE.

Ἐπεὶ οὖν τριγώνου τοῦ AΔE παρὰ μίαν τῶν πλευρῶν τὴν ΔE ἦκται ἡ BΓ, ἀνάλογόν ἐστιν ὡς ἡ AB πρὸς τὴν BΔ, οὕτως ἡ AΓ πρὸς τὴν ΓE. ἴση δὲ ἡ BΔ τῇ AΓ. ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν AΓ, οὕτως ἡ AΓ πρὸς τὴν ΓE.

Δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν AB, AΓ τρίτη ἀνάλογον αὐταῖς προσεύρηται ἡ ΓE· ὅπερ ἔδει ποιῆσαι.

ιβ′.

Τριῶν δοθεισῶν εὐθειῶν τετάρτην ἀνάλογον προσευρεῖν.

Ἔστωσαν αἱ δοθεῖσαι τρεῖς εὐθεῖαι αἱ A, B, Γ· δεῖ δὴ τῶν A, B, Γ τετάρτην ἀνάλογον προσευρεῖν.


Ἐκκείσθωσαν δύο εὐθεῖαι αἱ ΔE, ΔZ γωνίαν περιέχουσαι [τυχοῦσαν] τὴν ὑπὸ EΔZ· καὶ κείσθω τῇ μὲν A ἴση ἡ ΔH, τῇ δὲ B ἴση ἡ HE, καὶ ἔτι τῇ Γ ἴση ἡ ΔΘ· καὶ ἐπιζευχθείσης τῆς HΘ παράλληλος αὐτῇ ἤχθω διὰ τοῦ E ἡ EZ.

Ἐπεὶ οὖν τριγώνου τοῦ ΔEZ παρὰ μίαν τὴν

---

1. *δύο εὐθεῖαι*] om. P, *εὐθεῖαι* supra scr. m. rec. 3. *BA*] e corr. V. *εὑρεῖν* P. 4. *γὰρ αἱ AB, AΓ* Theon (BVp; *γὰρ αἱ BA, AΓ* F). 5. *BΓ*] *ΓB* p. 8. *ΔE*] *AE* φ. 9. *τήν*] bis om. BFp. *BΔ*] *BA* F. *AΓ*] *A* in ras. m. 1 B. 11. *τήν*] om. Bp. *τήν*] om. Bp. *ΓE*] *Γ* in ras. V. 13. *αὐτῆς* P, corr. m. 2. 20. *ἐκκείσθω τῶν* φ (non F). 21.

Sint datae rectae $BA, A\Gamma$ et ponantur ita, ut quemlibet angulum comprehendant. oportet igitur rectarum $BA, A\Gamma$ tertiam proportionalem inuenire.




producantur enim ad puncta Δ, E, et ponatur $A\Gamma = B\Delta$, et ducatur $B\Gamma$, et per Δ ei parallela ducatur ΔE [I, 31]. iam quoniam in triangulo $A\Delta E$ uni lateri ΔE parallela ducta est $B\Gamma$, erit $AB : B\Delta = A\Gamma : \Gamma E$ [prop. II]. sed $B\Delta = A\Gamma$. itaque $AB : A\Gamma = A\Gamma : \Gamma E$.

Ergo datis duabus rectis $AB, A\Gamma$ tertia earum proportionalis inuenta est ΓE; quod oportebat fieri.

XII.

Datis tribus rectis lineis quartam proportionalem inuenire.

Sint datae rectae A, B, Γ. oportet igitur rectarum A, B, Γ quartam proportionalem inuenire.



ponantur duae rectae $\Delta E, \Delta Z$ ita, ut quemlibet angulum comprehendant $E\Delta Z$, et ponatur $\Delta H = A$, $HE = B$, $\Delta\Theta = \Gamma$. et ducta recta $H\Theta$ ei parallela per E ducatur EZ [I, 31].

iam quoniam in triangulo ΔEZ uni lateri EZ

τυχοῦσαν] om. P. *καί*] om. p. *τῇ*] *εη φ*. 25. *μίαν τῶν πλευρῶν* Theon (BFVp).

EZ ἥκται ἡ HΘ, ἔστιν ἄρα ὡς ἡ ΔH πρὸς τὴν HE, οὕτως ἡ ΔΘ προς την ΘZ. ἴση δὲ ἡ μὲν ΔH τῇ A, ἡ δὲ HE τῇ B, ἡ δὲ ΔΘ τῇ Γ· ἔστιν ἄρα ὡς ἡ A πρὸς τὴν B, οὕτως ἡ Γ πρὸς τὴν ΘZ.

Τριῶν ἄρα δοθεισῶν εὐθειῶν τῶν A, B, Γ τετάρτη ἀνάλογον προσεύρηται ἡ ΘZ· ὅπερ ἔδει ποιῆσαι.

ιγ′.

Δύο δοθεισῶν εὐθειῶν μέσην ἀνάλογον προσευρεῖν.

Ἔστωσαν αἱ δοθεῖσαι δύο εὐθεῖαι αἱ AB, BΓ· δεῖ δὴ τῶν AB, BΓ μέσην ἀνάλογον προσευρεῖν.

Κείσθωσαν ἐπ᾽ εὐθείας, καὶ γεγράφθω ἐπὶ τῆς AΓ ἡμικύκλιον τὸ AΔΓ, καὶ ἤχθω ἀπὸ τοῦ B σημείου τῇ AΓ εὐθείᾳ πρὸς ὀρθὰς ἡ BΔ, καὶ ἐπεζεύχθωσαν αἱ AΔ, ΔΓ.

Ἐπεὶ ἐν ἡμικυκλίῳ γωνία ἐστὶν ἡ ὑπὸ AΔΓ, ὀρθή ἐστιν. καὶ ἐπεὶ ἐν ὀρθογωνίῳ τριγώνῳ τῷ AΔΓ ἀπὸ τῆς ὀρθῆς γωνίας ἐπὶ τὴν βάσιν κάθετος ἦκται ἡ ΔB, ἡ ΔB ἄρα τῶν τῆς βάσεως τμημάτων τῶν AB, BΓ μέση ἀνάλογόν ἐστιν.

Δύο ἄρα δοθεισῶν εὐθειῶν τῶν AB, BΓ μέση ἀνάλογον προσεύρηται ἡ ΔB· ὅπερ ἔδει ποιῆσαι.

ιδ′.

Τῶν ἴσων τε καὶ ἰσογωνίων παραλληλο-

XIII. Philoponus in Aristot. de anima g II. XIV. Philopon. in anal. post. fol. 117v.

---

1. *EZ*] corr. ex *HΘ* m. rec. P; *HΘ* Bp. *HΘ*] corr. ex *ZE* m. rec. P; *EZ* Bp; *ΘH* V m. 2. *ἡ*] om. V. *ΔH*] in ras. B. *τήν*] om. BFp. 2. *τήν*] om. BFp. *ΘZ*] e corr. V; *ZΘ* P. 4. *ΘZ*] Z in ras. F; *ZΘ* P. 14. *εὐ-*


parallela ducta est $H\Theta$, erit $\Delta H : HE = \Delta\Theta : \Theta Z$. sed $\Delta H = A$, $HE = B$, $\Delta\Theta = \Gamma$. itaque $A : B = \Gamma : \Theta Z$.

Ergo datis tribus rectis lineis A, B, Γ quarta proportionalis inuenta est ΘZ; quod oportebat fieri.

XIII.

Datis duabus rectis lineis mediam proportionalem inuenire.

Sint duae rectae datae AB, $B\Gamma$. oportet igitur rectarum AB, $B\Gamma$ mediam proportionalem inuenire.



ponantur in eadem recta, et in $A\Gamma$ describatur semicirculus $A\Delta\Gamma$, et a B puncto ducatur ad rectam $A\Gamma$ perpendicularis $B\Delta$, et ducantur $A\Delta$, $\Delta\Gamma$.

iam quoniam in semicirculo est $\angle A\Delta\Gamma$, rectus est [III, 31]. et quoniam in triangulo rectangulo $A\Delta\Gamma$ a recto angulo ad basim perpendicularis ducta est ΔB, ΔB partium basis AB, $B\Gamma$ media proportionalis est [prop. VIII coroll.].

Ergo datis duabus rectis lineis AB, $B\Gamma$ media proportionalis inuenta est ΔB; quod oportebat fieri.

XIV.

In parallelogrammis aequalibus et aequiangulis

$\vartheta\varepsilon\acute{\iota}\alpha$] om. Bp. 16. $\kappa\alpha\grave{\iota}\ \grave{\varepsilon}\pi\varepsilon\acute{\iota}$ V. 19. ΔB] $B\Delta$ F; V, corr. m. 2. ΔB] $B\Delta$ V, corr. m. 2. 21. $\mu\acute{\varepsilon}\sigma\eta\nu$ P, sed corr. 22. $\pi\rho\sigma\sigma\eta\acute{\upsilon}\rho\eta\tau\alpha\iota$ F. 24. $\tau\varepsilon$] om. p. $\kappa\alpha\acute{\iota}$] m. 2 F. $\acute{\iota}\sigma\sigma\gamma\omega\nu\acute{\iota}\omega\nu$] P, Philoponus; $\mu\acute{\iota}\alpha\nu\ \mu\iota\tilde{\alpha}\ \acute{\iota}\sigma\eta\nu\ \grave{\varepsilon}\chi\acute{\sigma}\nu\tau\omega\nu\ \gamma\omega\nu\acute{\iota}\alpha\nu$ Theon (BVp; in F om. $\mu\acute{\iota}\alpha\nu$ et supra scr. $\mu\iota\alpha$ seq. ras. 1 litt.), P supra m. rec.

γραμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα.

Ἔστω ἴσα τε καὶ ἰσογώνια παραλληλόγραμμα τὰ AB, $BΓ$ ἴσας ἔχοντα τὰς πρὸς τῷ B γωνίας, καὶ κείσθωσαν ἐπ' εὐθείας αἱ $ΔB$, BE· ἐπ' εὐθείας ἄρα εἰσὶ καὶ αἱ ZB, BH. λέγω, ὅτι τῶν AB, $BΓ$ ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, τουτέστιν, ὅτι ἐστὶν ὡς ἡ $ΔB$ πρὸς τὴν BE, οὕτως ἡ HB πρὸς τὴν BZ.

Συμπεπληρώσθω γὰρ τὸ ZE παραλληλόγραμμον. ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ AB παραλληλόγραμμον τῷ $BΓ$ παραλληλογράμμῳ, ἄλλο δέ τι τὸ ZE, ἔστιν ἄρα ὡς τὸ AB πρὸς τὸ ZE, οὕτως τὸ $BΓ$ πρὸς τὸ ZE. ἀλλ' ὡς μὲν τὸ AB πρὸς τὸ ZE, οὕτως ἡ $ΔB$ πρὸς τὴν BE, ὡς δὲ τὸ $BΓ$ πρὸς τὸ ZE, οὕτως ἡ HB πρὸς τὴν BZ· καὶ ὡς ἄρα ἡ $ΔB$ πρὸς τὴν BE, οὕτως ἡ HB πρὸς τὴν BZ. τῶν ἄρα AB, $BΓ$ παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας.


Ἀλλὰ δὴ ἔστω ὡς ἡ $ΔB$ πρὸς τὴν BE, οὕτως ἡ HB πρὸς τὴν BZ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ AB παραλληλόγραμμον τῷ $BΓ$ παραλληλογράμμῳ.

Ἐπεὶ γάρ ἐστιν ὡς ἡ $ΔB$ πρὸς τὴν BE, οὕτως ἡ HB προς τὴν BZ, ἀλλ' ὡς μὲν ἡ $ΔB$ πρὸς τὴν

---

2. *ἰσογωνίων*] om. Theon (BFVp); del. m. rec. P. Post *παραλληλογράμμων* add. Theon: *μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἐχόντων* (BFp; *μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν* V). 5. *τε καὶ ἰσογώνια*] om. Theon (BFVp); del. m. rec. P. 7. *κείσθω* V. 8. *εἰσίν* PBp. 10. *ἐστίν*] om. p. *τήν*] om.

latera aequales angulos comprehendentia in contraria proportione sunt; et parallelogramma aequiangula, quorum latera aequales angulos comprehendentia in contraria proportione sint, aequalia sunt.



Sint aequalia et aequiangula parallelogramma $AB, B\Gamma$ aequales habentia angulos ad B positos, et ponantur in eadem recta ΔB, BE. itaque etiam ZB, BH in eadem recta sunt. dico, in $AB, B\Gamma$ latera aequales angulos comprehendentia in contraria proportione esse, h. e. esse $\Delta B : BE = HB : BZ$.

expleatur enim ZE parallelogrammum. iam quoniam $AB = B\Gamma$, et alia quaedam magnitudo est ZE, erit $AB : ZE = B\Gamma : ZE$ [V, 7]. sed $AB : ZE = \Delta B : BE$ [prop. I], et $B\Gamma : ZE = HB : BZ$ [id.]. quare etiam $\Delta B : BE = HB : BZ$. itaque in parallelogrammis $AB, B\Gamma$ latera aequales angulos comprehendentia in contraria proportione sunt.

iam uero sit $\Delta B : BE = HB : BZ$. dico, esse $AB = B\Gamma$.

nam quoniam est $\Delta B : BE = HB : BZ$, et $\Delta B : BE$

BFp. BE] corr. ex $B\Theta$ m. rec. P. 11. τήν] om. BFp. BZ] ZB P. 12. ZE] EZ p. 17. τήν] om. BF; τό p. τὸ ZE] ZE BF; Z in ras. m. 2 V. 18. πρὸς τήν] πρός BFp, et sic deinde per totam prop. ὡς ἄρα] ὥσπερ V. ΔB] $B\Delta$ p. 19. ἄρα] supra m. 1, sed post $B\Gamma$ P. 22. ἀλλὰ δή] in ras. m. 1 p. Post δή add. Theon: ἀντιπεπονθέτωσαν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας καί (BF V p). 23. BZ] ZB P. ἐστίν P. 25. τήν] corr. ex τῆ m. 2 V. 26. ὡς] e corr. F. ἡ] om. F.

BE, οὕτως τὸ AB παραλληλόγραμμον πρὸς τὸ ZE παραλληλόγραμμον, ὡς δὲ ἡ HB πρὸς τὴν BZ, οὕτως τὸ BΓ παραλληλόγραμμον πρὸς τὸ ZE παραλληλόγραμμον, καὶ ὡς ἄρα τὸ AB πρὸς τὸ ZE, οὕτως τὸ BΓ πρὸς τὸ ZE· ἴσον ἄρα ἐστὶ τὸ AB παραλληλόγραμμον τῷ BΓ παραλληλογράμμῳ.

Τῶν ἄρα ἴσων τε καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα· ὅπερ ἔδει δεῖξαι.

ιε′.

Τῶν ἴσων καὶ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τας ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα.

Ἔστω ἴσα τρίγωνα τὰ ABΓ, AΔE μίαν μιᾷ ἴσην ἔχοντα γωνίαν τὴν ὑπὸ BAΓ τῇ ὑπὸ ΔAE· λέγω, ὅτι τῶν ABΓ, AΔE τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, τουτέστιν, ὅτι ἐστὶν ὡς ἡ ΓA πρὸς τὴν AΔ, οὕτως ἡ EA πρὸς τὴν AB.

Κείσθω γὰρ ὥστε ἐπ' εὐθείας εἶναι τὴν ΓA τῇ AΔ· ἐπ' εὐθείας ἄρα ἐστὶ καὶ ἡ EA τῇ AB. καὶ ἐπεζεύχθω ἡ BΔ.

---

1. *πρὸς τό* — 2: *ὡς δέ*] insert. in ras. F. 2. *παραλληλόγραμμον*] om. V. 3. ZE *παραλληλόγραμμον*] P; ZE Theon (BFVp). 5. *ἐστίν* P, comp. p. 7. *ἴσων ἄρα* p. *τε*] om. Bp. *ἰσογωνίων*] PBFp; in P supra scr. m. rec. *ἴσην γωνίαν μίαν μιᾷ ἐχόντων*; *μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν* V, sed

$= AB : ZE$, $HB : B\Gamma = B\Gamma : ZE$ [prop. I], erit etiam $AB : ZE = B\Gamma : ZE$ [V, 11]. itaque $AB = B\Gamma$ [V, 9].

Ergo in parallelogrammis aequalibus et aequiangulis latera aequales angulos comprehendentia in contraria proportione sunt; et parallelogramma aequiangula, quorum latera aequales angulos comprehendentia in contraria proportione sint, aequalia sunt; quod erat demonstrandum.

XV.

In triangulis aequalibus, et qui unum angulum uni aequalem habeant, latera aequales angulos comprehendentia in contraria proportione sunt; et trianguli unum angulum uni aequalem habentes, et in quibus latera aequales angulos comprehendentia in contraria proportione sint, aequales sunt.

Sint aequales trianguli $AB\Gamma$, $A\Delta E$ unum angulum uni aequalem habentes, $\angle BA\Gamma = \Delta AE$. dico, in triangulis $AB\Gamma$, $A\Delta E$ latera aequales angulos comprehendentia in contraria proportione esse, h. e. esse $\Gamma A : A\Delta = EA : AB$.

ponantur enim ita, ut ΓA et $A\Delta$ in eadem recta sint. itaque etiam EA et AB in eadem recta sunt. et ducatur $B\Delta$. iam quoniam $\triangle AB\Gamma = A\Delta E$, et

---

μίαν μιᾷ punctis del. 9. *ἰσογωνίων παραλληλογράμμων*] PB, F (post *ἰσο-* ras. 1 litt.), p; in P m. rec. supra scr. *ἴσην γωνίαν μίαν μιᾷ ἐχόντων*; *μίαν μιᾷ* (punctis del.) *ἴσην ἐχόντων γωνίαν παραλληλογράμμων* V. 15. *αἱ*] m. 2 P. *ὧν τριγώνων* F. 16. *τριγώνων*] om. FV. 20. *τῇ*] corr. ex *τῆς* m. rec. P. *λέγω, ὅτι*] et seq. insert. in ras. F. 22. *αἱ περί*] *περί* P, corr. m. 2. 23. *πρὸς τήν*] bis *πρός* BFp. 24. *ΓA*] *AΓ* P, V in ras. 25. *ἐστίν* PBF, comp. p.

Ἐπεὶ οὖν ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΕ τριγώνῳ, ἄλλο δέ τι τὸ ΒΑΔ, ἔστιν ἄρα ὡς τὸ ΓΑΒ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον, οὕτως τὸ ΕΑΔ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον. ἀλλ' ὡς μὲν τὸ ΓΑΒ πρὸς τὸ ΒΑΔ, οὕτως ἡ ΓΑ πρὸς τὴν ΑΔ, ὡς δὲ τὸ ΕΑΔ πρὸς τὸ ΒΑΔ, οὕτως ἡ ΕΑ προς τὴν ΑΒ. καὶ ὡς ἄρα ἡ ΓΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ. τῶν ΑΒΓ, ΑΔΕ ἄρα τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας.


Ἀλλὰ δὴ ἀντιπεπονθέτωσαν αἱ πλευραὶ τῶν ΑΒΓ, ΑΔΕ τριγώνων, καὶ ἔστω ὡς ἡ ΓΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ· λέγω, ὅτι ἴσον ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΑΔΕ τριγώνῳ.

Ἐπιζευχθείσης γὰρ πάλιν τῆς ΒΔ, ἐπεί ἐστιν ὡς ἡ ΓΑ πρὸς τὴν ΑΔ, οὕτως ἡ ΕΑ πρὸς τὴν ΑΒ, ἀλλ' ὡς μὲν ἡ ΓΑ πρὸς τὴν ΑΔ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον, ὡς δὲ ἡ ΕΑ πρὸς τὴν ΑΒ, οὕτως τὸ ΕΑΔ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον, ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον, οὕτως τὸ ΕΑΔ τρίγωνον πρὸς τὸ ΒΑΔ τρίγωνον. ἑκάτερον ἄρα τῶν ΑΒΓ, ΕΑΔ πρὸς τὸ ΒΑΔ τὸν αὐτὸν ἔχει λόγον. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΓ [τρίγωνον] τῷ ΕΑΔ τριγώνῳ.

Τῶν ἄρα ἴσων καὶ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· καὶ ὧν μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν

---

2. *τι*] om. BFVp. *ΒΑΔ*] in ras. m. 2 V. 3. *ΓΑΒ*] *'''Γ''Α'Β* F; *ΒΑΓ* Bp, V m. 2. *οὕτως*] *οὕτω* P, *οὕτως ἄρα* F. 4. *ΕΑΔ*] BFp, V m. 2; *ΑΔΕ* V m. 1; *ΔΑΕ* P. *ΒΑΔ*] litt. *ΒΑ* in ras. m. 2 V. *τρίγωνον*] comp. V. 7. *τήν*] (prius)



alia quaedam magnitudo est $BA\Delta$, erit $\triangle \Gamma AB : BA\Delta = EA\Delta : BA\Delta$ [V, 7]. sed [prop. I] $\Gamma AB : BA\Delta = A\Gamma : A\Delta$ et $EA\Delta : BA\Delta = EA : AB$. quare etiam $\Gamma A : A\Delta = EA : AB$. itaque triangulorum $AB\Gamma$, $A\Delta E$ latera aequales angulos comprehendentia in contraria proportione sunt.

iam uero latera triangulorum $AB\Gamma$, $A\Delta E$ in contraria proportione sint, et sit $\Gamma A : A\Delta = EA : AB$. dico, esse $\triangle AB\Gamma = \triangle A\Delta E$.

ducta enim rursus $B\Delta$, quoniam est $\Gamma A : A\Delta = EA : AB$, et $\Gamma A : A\Delta = \triangle AB\Gamma : \triangle BA\Delta$, et $EA : AB = \triangle EA\Delta : \triangle BA\Delta$ [prop. I], erit $\triangle AB\Gamma : \triangle BA\Delta = \triangle EA\Delta : \triangle BA\Delta$. itaque uterque triangulus $AB\Gamma$, $EA\Delta$ ad $BA\Delta$ eandem rationem habet. quare $\triangle AB\Gamma = \triangle EA\Delta$ [V, 9].

Ergo in triangulis aequalibus, et qui unum angulum uni aequalem habeant, latera aequales angulos comprehendentia in contraria proportione sunt; et trianguli unum angulum uni aequalem habentes, et in quibus latera aequales angulos comprehendentia

---

corr. ex *τόν* m. 1 F. 8. *ἄρα τριγώνων*] *τριγώνων ἄρα* V; *ἄρα γωνιῶν* p. 12. *τριγώνων*] *γωνιῶν* p. *ὡς*] postea insert. m. 1 P; om. F. *πρὸς τήν*] *πρός* BFp, et sic deinde per totam prop. 16. *ΓA*] *AΓ* p. 19. *τήν*] om. etiam V. 20. *ABΓ*] *BAΓ* P. Post *τρίγωνον* add. F: *οὕτως τὸ EAΔ τρίγωνον*, sed del. m. 1. 21. *τρίγωνον*] om. V. *οὕτως*] om. F. *τὸ EAΔ τρίγωνον πρὸς τὸ BAΔ τρίγωνον*] om. BFp. 22. *ἄρα*] om. Bp. 23. *ἐστίν* P, comp. p. 24. *τρίγωνον*] om. P. 26. *πλευραὶ αἱ*] om. F. 27. *γωνίας πλευραί* F.

τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἐκεῖνα ἴσα ἐστίν· ὅπερ ἔδει δεῖξαι.

ιϛ′.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται.

Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ AB, $\Gamma\Delta$, E, Z, ὡς ἡ AB πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ E πρὸς τὴν Z· λέγω, ὅτι τὸ ὑπὸ τῶν AB, Z περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν $\Gamma\Delta$, E περιεχομένῳ ὀρθογωνίῳ.

Ἤχθωσαν [γὰρ] ἀπὸ τῶν A, Γ σημείων ταῖς AB, $\Gamma\Delta$ εὐθείαις πρὸς ὀρθὰς αἱ AH, $\Gamma\Theta$, καὶ κείσθω τῇ μὲν Z ἴση ἡ AH, τῇ δὲ E ἴση ἡ $\Gamma\Theta$. καὶ συμπεπληρώσθω τὰ BH, $\Delta\Theta$ παραλληλόγραμμα.

Καὶ ἐπεί ἐστιν ὡς ἡ AB πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ E πρὸς τὴν Z, ἴση δὲ ἡ μὲν E τῇ $\Gamma\Theta$, ἡ δὲ Z τῇ AH, ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ $\Gamma\Theta$ πρὸς τὴν AH. τῶν BH, $\Delta\Theta$ ἄρα παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ὧν δὲ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας,

---


2. ἐστίν] εἰσίν V. 4. ὦσι PBp. 7. κἂν] καὶ εἰ V. 11. αἱ τέσσαρες P. ἀνάλογον] om. V. 12. Z ἀνάλογον V. τήν] om. Bp. 13. AB] B in ras. m. 2 V. Z] eras. F. 14. ἐστίν P, comp. p. E] postea add. m. 1 p; eras. F.

in contraria proportione sint, aequales sunt; quod erat demonstrandum.

XVI.

Si quattuor rectae proportionales sunt, rectangulum extremis terminis comprehensum aequale est rectangulo mediis comprehenso; et si rectangulum extremis terminis comprehensum aequale est rectangulo mediis comprehenso, quattuor rectae proportionales sunt.

Sint quattuor rectae proportionales AB, $\Gamma\Delta$, E, Z, ita ut sit $AB : \Gamma\Delta = E : Z$. dico, esse $AB \times Z = \Gamma\Delta \times E$.



ducantur a punctis A, Γ ad rectas AB, $\Gamma\Delta$ perpendiculares AH, $\Gamma\Theta$, et ponatur $AH = Z$ et $\Gamma\Theta = E$. et expleantur parallelogramma BH, $\Delta\Theta$.

et quoniam est $AB : \Gamma\Delta = E : Z$, et $E = \Gamma\Theta$, $Z = AH$, erit $AB : \Gamma\Delta = \Gamma\Theta : AH$. itaque in parallelogrammis BH, $\Delta\Theta$ latera aequales angulos comprehendentia in contraria proportione sunt. parallelogramma autem aequiangula, quorum latera aequales angulos comprehendentia in contraria proportione

---

16. *γάρ*] om. P. 18. *συμπεπληρώσθωσαν* BFVp. 22. AH] corr. ex $A\Delta$ m. rec. P. 23. AH] post ras. 1 litt., H e corr. V; corr. ex $A\Theta$ m. rec. P. *ἄρα*] m. 2 V. 24. *αἱ περί*] *περί* P.

ἴσα ἐστὶν ἐκεῖνα· ἴσον ἄρα ἐστὶ τὸ BH παραλληλόγραμμον τῷ $\Delta\Theta$ παραλληλογράμμῳ. καί ἐστι τὸ μὲν BH τὸ ὑπὸ τῶν AB, Z· ἴση γὰρ ἡ AH τῇ Z· τὸ δὲ $\Delta\Theta$ τὸ ὑπὸ τῶν $\Gamma\Delta, E$· ἴση γὰρ ἡ E τῇ $\Gamma\Theta$· τὸ ἄρα ὑπὸ τῶν AB, Z περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν $\Gamma\Delta, E$ περιεχομένῳ ὀρθογωνίῳ.

Ἀλλὰ δὴ τὸ ὑπὸ τῶν AB, Z περιεχόμενον ὀρθογώνιον ἴσον ἔστω τῷ ὑπὸ τῶν $\Gamma\Delta, E$ περιεχομένῳ ὀρθογωνίῳ· λέγω, ὅτι αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται, ὡς ἡ AB πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ E πρὸς τὴν Z.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ τὸ ὑπὸ τῶν AB, Z ἴσον ἐστὶ τῷ ὑπὸ τῶν $\Gamma\Delta, E$, καί ἐστι τὸ μὲν ὑπὸ τῶν AB, Z τὸ BH· ἴση γάρ ἐστιν ἡ AH τῇ Z· τὸ δὲ ὑπὸ τῶν $\Gamma\Delta, E$ τὸ $\Delta\Theta$· ἴση γαρ ἡ $\Gamma\Theta$ τῇ E· τὸ ἄρα BH ἴσον ἐστὶ τῷ $\Delta\Theta$. καί ἐστιν ἰσογώνια. τῶν δὲ ἴσων καὶ ἰσογωνίων παραλληλογράμμων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ $\Gamma\Theta$ πρὸς τὴν AH. ἴση δὲ ἡ μὲν $\Gamma\Theta$ τῇ E, ἡ δὲ AH τῇ Z· ἔστιν ἄρα ὡς ἡ AB πρὸς τὴν $\Gamma\Delta$, οὕτως ἡ E πρὸς τὴν Z.

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογον ἔσονται· ὅπερ ἔδει δεῖξαι.

---

4. $\Gamma\Delta, E$] seq. περιεχόμενον ὀρθογώνιον V, punctis delet. E] corr. ex $\Gamma\Theta$ m. 2 V. $\Gamma\Theta$] corr. ex E m. 2 V. 6.

sint, aequalia sunt [prop. XIV]. itaque $BH = \Delta\Theta$. et $BH = AB \times Z$ (nam $AH = Z$) et $\Delta\Theta = \Gamma\Delta \times E$ (nam $E = \Gamma\Theta$). itaque $AB \times Z = \Gamma\Delta \times E$.

iam uero sit $AB \times Z = \Gamma\Delta \times E$. dico, quattuor rectas proportionales esse, $AB : \Gamma\Delta = E : Z$.

nam iisdem comparatis, quoniam $AB \times Z = \Gamma\Delta \times E$, et $AB \times Z = BH$ (nam $AH = Z$), et $\Gamma\Delta \times E = \Delta\Theta$ (nam $\Gamma\Theta = E$), erit $BH = \Delta\Theta$. eadem autem aequiangula sunt. et in parallelogrammis aequalibus et aequiangulis latera aequales angulos comprehendentia in contraria proportione sunt [prop. XIV]. itaque $AB : \Gamma\Delta = \Gamma\Theta : AH$. sed $\Gamma\Theta = E$, $AH = Z$. quare $AB : \Gamma\Delta = E : Z$.

Ergo si quattuor rectae proportionales sunt, rectangulum extremis terminis comprehensum aequale est rectangulo mediis comprehenso; et si rectangulum extremis terminis comprehensum aequale est rectangulo mediis comprehenso quattuor rectae proportionales sunt; quod erat demonstrandum.

περιεχομένων ὀρθογωνίων F, sed corr. 8. *τῶν*] mutat. in *τῶι* F. 9. *ὀρθογωνίων* F, sed corr. 14. *ἐστιν*] om. V. *ἡ AH τῇ* Z] *τῇ* Z *ἡ AH* V; in F m. 2 ex *τῆι* Z fecit *τῇ HZ*. 15. *ἴση γὰρ ἡ* — 16: *τῷ ΔΘ*] mg. m. rec. P. 16. *ἐστιν*] P; *εἰσιν* BFVp. 19. *ἡ*] (alt.) postea ins. m. 1 p. 20. *ΓΘ*] corr. ex *HΘ* m. 1 p. *AH*] corr. ex *ZH* m. 1 p. 23. *ὧσι* PBVp. 25. *κἄν*] *καὶ εἰ* V. 26. *ἧ*] *ἐστί* F. 27. *τέσσαρες*] seq. ras. 2 litt. F.

ιξ′.

Ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ, αἱ τρεῖς εὐθεῖαι ἀνάλογον ἔσονται.

Ἔστωσαν τρεῖς εὐθεῖαι ἀνάλογον αἱ *A*, *B*, *Γ*, ὡς ἡ *A* πρὸς τὴν *B*, οὕτως ἡ *B* πρὸς τὴν *Γ*· λέγω, ὅτι τὸ ὑπὸ τῶν *A*, *Γ* περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *B* τετραγώνῳ.

Κείσθω τῇ *B* ἴση ἡ *Δ*.

Καὶ ἐπεί ἐστιν ὡς ἡ *A* πρὸς τὴν *B*, οὕτως ἡ *B* πρὸς τὴν *Γ*, ἴση δὲ ἡ *B* τῇ *Δ*, ἔστιν ἄρα ὡς ἡ *A* πρὸς τὴν *B*, ἡ *Δ* πρὸς τὴν *Γ*. ἐὰν δὲ τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον [ὀρθογώνιον] ἴσον ἐστὶ τῷ ὑπὸ τῶν μέσων περιεχομένῳ ὀρθογωνίῳ. τὸ ἄρα ὑπὸ τῶν *A*, *Γ* ἴσον ἐστὶ τῷ ὑπὸ τῶν *B*, *Δ*. ἀλλὰ τὸ ὑπὸ τῶν *B*, *Δ* τὸ ἀπὸ τῆς *B* ἐστιν· ἴση γὰρ ἡ *B* τῇ *Δ*· τὸ ἄρα ὑπὸ τῶν *A*, *Γ* περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *B* τετραγώνῳ.

Ἀλλὰ δὴ τὸ ὑπὸ τῶν *A*, *Γ* ἴσον ἔστω τῷ ἀπὸ τῆς *B*· λέγω, ὅτι ἐστὶν ὡς ἡ *A* πρὸς τὴν *B*, οὕτως ἡ *B* πρὸς τὴν *Γ*.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων, ἐπεὶ τὸ ὑπὸ τῶν *A*, *Γ* ἴσον ἐστὶ τῷ ἀπὸ τῆς *B*, ἀλλὰ τὸ ἀπὸ τῆς *B* τὸ ὑπὸ τῶν *B*, *Δ* ἐστιν· ἴση γὰρ ἡ *B* τῇ *Δ*· τὸ ἄρα ὑπὸ τῶν *A*, *Γ* ἴσον ἐστὶ τῷ ὑπὸ τῶν *B*, *Δ*.


---

1. ιξ′] et litt. initialis m. 2 V. 2. ὦσι codd. 4. κἂν] καὶ εἰ V. 6. τῆς] insert. postea F. 8. αἱ τρεῖς P.

XVII.

Si tres rectae proportionales sunt, rectangulum extremis terminis comprehensum aequale est quadrato medii; et si rectangulum extremis terminis comprehensum aequale est quadrato medii, tres rectae proportionales erunt.

Sint tres rectae proportionales A, B, Γ, ita ut sit $A : B = B : \Gamma$. dico, esse $A \times \Gamma = B^2$.



ponatur $\Delta = B$. et quoniam est $A : B = B : \Gamma$, et $B = \Delta$, erit $A : B = \Delta : \Gamma$. sin quattuor rectae proportionales sunt, rectangulum extremis terminis comprehensum aequale est rectangulo mediis comprehenso [prop. XVI]. itaque $A \times \Gamma = B \times \Delta$. uerum $B \times \Delta = B^2$; nam $B = \Delta$. quare

$$A \times \Gamma = B^2.$$

iam uero sit $A \times \Gamma = B^2$. dico, esse $A : B = B : \Gamma$.

nam iisdem comparatis, quoniam $A \times \Gamma = B^2$, et $B^2 = B \times \Delta$ (nam $B = \Delta$), erit $A \times \Gamma = B \times \Delta$. sin rectangulum extremis terminis comprehensum

---

XVII. Philoponus in Arist. de anima g II.

---

12. *κείσθω γάρ* P. Δ] post ras. 1 litt. F. 16. *ὥσι* codd. 17. *ὀρθογώνιον*] om. P. 19. B, Δ] (prius) in ras. m. 2 V. *ἀλλά — B, Δ*] insert. m. 1 F. 20. *ἐστιν· ἴση*] eras. F. 24. A] B *π*. 26. *ἐπεί*] corr. ex *ἐπί* m. 2 V. 27. *ἀλλὰ τὸ ἀπὸ τῆς B τὸ ὑπὸ τῶν B, Δ ἐστιν*] PBp; idem, sed *τῷ ὑπό* V, F mg.; *τουτέστιν τῷ ὑπὸ τῶν B, Δ* F. 28. *ἴση*] *-η* in ras. B. *τῇ Δ*] in mg. transit m. 1 V (supra est ras.).

ἐὰν δὲ τὸ ὑπὸ τῶν ἄκρων ἴσον ᾖ τῷ ὑπὸ τῶν μέσων, αἱ τέσσαρες εὐθεῖαι ἀνάλογόν εἰσιν. ἔστιν ἄρα ὡς ἡ *A* πρὸς τὴν *B*, οὕτως ἡ *Δ* πρὸς τὴν *Γ*. ἴση δὲ ἡ *B* τῇ *Δ*· ὡς ἄρα ἡ *A* πρὸς τὴν *B*, οὕτως ἡ *B* πρὸς τὴν *Γ*.

Ἐὰν ἄρα τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ἐστὶ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ· κἂν τὸ ὑπὸ τῶν ἄκρων περιεχόμενον ὀρθογώνιον ἴσον ᾖ τῷ ἀπὸ τῆς μέσης τετραγώνῳ, αἱ τρεῖς εὐθεῖαι ἀνάλογον ἔσονται· ὅπερ ἔδει δεῖξαι.

ιη′.

Ἀπὸ τῆς δοθείσης εὐθείας τῷ δοθέντι εὐθυγράμμῳ ὁμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον ἀναγράψαι.

Ἔστω ἡ μὲν δοθεῖσα εὐθεῖα ἡ *AB*, τὸ δὲ δοθὲν εὐθύγραμμον τὸ *ΓE*· δεῖ δὴ ἀπὸ τῆς *AB* εὐθείας τῷ *ΓE* εὐθυγράμμῳ ὁμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον ἀναγράψαι.

Ἐπεζεύχθω ἡ *ΔZ*, καὶ συνεστάτω πρὸς τῇ *AB* εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς *A*, *B* τῇ μὲν πρὸς τῷ *Γ* γωνίᾳ ἴση ἡ ὑπὸ *HAB*, τῇ δὲ ὑπὸ *ΓΔZ* ἴση ἡ ὑπὸ *ABH*. λοιπὴ ἄρα ἡ ὑπὸ *ΓZΔ* τῇ ὑπὸ *AHB* ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ *ZΓΔ* τρίγωνον τῷ *HAB* τριγώνῳ. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ *ZΔ* πρὸς τὴν *HB*, οὕτως ἡ *ZΓ* πρὸς τὴν *HA*, καὶ ἡ *ΓΔ* πρὸς τὴν *AB*. πάλιν συνεστάτω πρὸς τῇ *BH* εὐθείᾳ καὶ τοῖς πρὸς αὐτῇ σημείοις τοῖς *B*,

---

6. ὦσι] PFVp. 7. ἐστίν P. 8. κἂν — 10: ἔσονται] om. p. 9. ᾖ] ἐστί comp. F, supra scr. ᾖ. 18. ὁμοίως]

aequale est rectangulo mediis comprehenso, quattuor rectae proportionales sunt [prop. XVI]. itaque


$A : B = \Delta : \Gamma$. sed $B = \Delta$. itaque $A : B = B : \Gamma$.

Ergo si tres rectae proportionales sunt, rectangulum extremis terminis comprehensum aequale est quadrato medii; et si rectangulum extremis terminis comprehensum aequale est quadrato medii, tres rectae proportionales erunt; quod erat demonstrandum.

XVIII.

In data recta datae figurae rectilineae similem et similiter positam figuram rectilineam construere.

Sit data recta AB et data figura rectilinea ΓE. oportet igitur in recta AB figurae rectilineae ΓE similem et similiter positam figuram rectilineam construere.



ducatur ΔZ et ad rectam AB et puncta eius A, B angulo ad Γ posito aequalis construatur $\angle HAB$, angulo autem $\Gamma\Delta Z$ aequalis $\angle ABH$ [I, 23]. itaque $\angle \Gamma Z\Delta = AHB$ [I, 32]. quare $\triangle Z\Gamma\Delta$ triangulo HAB aequiangulus est. itaque $Z\Delta : HB = Z\Gamma : HA = \Gamma\Delta : AB$ [prop. IV]. rursus ad rectam BH et

---

ὁμοίας π (non P). 20. ΔZ] ZΔ P. *συνεστοτο* π (non P). 22. *τῷ*] *τῇ* P. *ἴσῃ*] om. V. *HAB*] *BAH* P; *AB* F; *HAB ἴσῃ* V. 23. *ἴσῃ*] om. V. *τῇ*] *λοιπῇ τῇ* V. 24. *AHB*] *A''B'H* F. *ἐστί*] om. V. 26. *ὡς*] supra F. 28. *τῇ*] corr. ex *τῆς* m. 1 p. *BH*] *H* supra scr. V.

Η τῇ μὲν ὑπὸ ΔΖΕ γωνίᾳ ἴση ἡ ὑπὸ ΒΗΘ, τῇ δὲ ὑπὸ ΖΔΕ ἴση ἡ ὑπὸ ΗΒΘ. λοιπὴ ἄρα ἡ πρὸς τῷ Ε λοιπῇ τῇ πρὸς τῷ Θ ἐστιν ἴση· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΖΔΕ τρίγωνον τῷ ΗΘΒ τριγώνῳ· ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ ΖΔ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΖΕ πρὸς τὴν ΗΘ καὶ ἡ ΕΔ πρὸς τὴν ΘΒ. ἐδείχθη δὲ καὶ ὡς ἡ ΖΔ πρὸς τὴν ΗΒ, οὕτως ἡ ΖΓ πρὸς τὴν ΗΑ καὶ ἡ ΓΔ πρὸς τὴν ΑΒ· καὶ ὡς ἄρα ἡ ΖΓ προς τὴν ΑΗ, οὕτως ἥ τε ΓΔ πρὸς τὴν ΑΒ καὶ ἡ ΖΕ πρὸς τὴν ΗΘ καὶ ἔτι ἡ ΕΔ πρὸς τὴν ΘΒ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ὑπὸ ΓΖΔ γωνία τῇ ὑπὸ ΑΗΒ, ἡ δὲ ὑπὸ ΔΖΕ τῇ ὑπὸ ΒΗΘ, ὅλη ἄρα ἡ ὑπὸ ΓΖΕ ὅλῃ τῇ ὑπὸ ΑΗΘ ἐστιν ἴση. διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ὑπὸ ΓΔΕ τῇ ὑπὸ ΑΒΘ ἐστιν ἴση. ἔστι δὲ καὶ ἡ μὲν πρὸς τῷ Γ τῇ πρὸς τῷ Α ἴση, ἡ δὲ πρὸς τῷ Ε τῇ πρὸς τῷ Θ. ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΘ τῷ ΓΕ· καὶ τὰς περὶ τὰς ἴσας γωνίας αὐτῶν πλευρὰς ἀνάλογον ἔχει· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΘ εὐθύγραμμον τῷ ΓΕ εὐθυγράμμῳ.

Ἀπὸ τῆς δοθείσης ἄρα εὐθείας τῆς ΑΒ τῷ δοθέντι εὐθυγράμμῳ τῷ ΓΕ ὁμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον ἀναγέγραπται τὸ ΑΘ· ὅπερ ἔδει ποιῆσαι.

ιθ'.

Τὰ ὅμοια τρίγωνα πρὸς ἄλληλα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν.

XIX coroll. Philoponus in anal. post. 117 v. Psellus p. 57.

---

1. *ΒΗΘ*] "Β'Η'"Θ F. 2. *ὑπό*] om. Bp. *ἴση*] om. B. 4. *ΗΘΒ*] PF; *ΗΒΘ* B, V e corr. m. 2, p corr. ex *ΗΘΘ* m. 1. 5. *ΖΔ*] *ΔΖ* P. *ΖΕ*] in ras. m. 2 V. 6. *ΗΘ*]

puncta eius B, H angulo ΔZE aequalis construatur $\angle BH\Theta$ et angulo $Z\Delta E$ aequalis $\angle HB\Theta$ [I, 23]. itaque qui relinquitur angulus ad E positus, reliquo angulo ad Θ posito aequalis est [I, 32]. itaque $\triangle Z\Delta E$ triangulo $H\Theta B$ aequiangulus est. quare $Z\Delta : HB = ZE : H\Theta = E\Delta : \Theta B$ [prop. IV]. demonstrauimus autem, esse etiam $Z\Delta : HB = Z\Gamma : HA = \Gamma\Delta : AB$. quare etiam $Z\Gamma : AH = \Gamma\Delta : AB = ZE : H\Theta = E\Delta : \Theta B$. et quoniam $\angle \Gamma Z\Delta = AHB$, et $\angle \Delta ZE = BH\Theta$, erit $\angle \Gamma ZE = AH\Theta$. eadem de causa etiam $\angle \Gamma\Delta E = AB\Theta$. et praeterea angulus ad Γ positus angulo ad A posito aequalis est, et angulus ad E positus angulo ad Θ posito aequalis. itaque $A\Theta$ aequiangula est figurae ΓE. et latera, quae aequales angulos comprehendunt, proportionalia habent; itaque figura rectilinea $A\Theta$ similis est figurae rectilineae ΓE.

Ergo in data recta AB datae figurae rectilineae ΓE similis et similiter posita figura rectilinea constructa est $A\Theta$; quod oportebat fieri.

XIX.

Similes trianguli inter se duplicatam rationem habent quam latera correspondentia.

Θ in ras. m. 2 V. ΘB] $B\Theta$ P. καὶ ἡ $E\Delta$ πρὸς τὴν ΘB] bis F, sed corr. 7. ἥ τε $Z\Gamma$ P. 8. καὶ ὡς ἄρα — 9: τὴν AB] om. p. 10. $E\Delta$] $''\Delta'E$ F. 12. ΔZE] $''Z'\Delta'''E$ F. 13. διὰ τὰ αὐτά — 15: πρὸς τῷ A ἴση] insert. in ras. F. 16. πρός] eras. V. ἐστίν F. 17. αὐτῶν] P; αὐτῷ BF Vp; om. Augustus. 18. $A\Theta$] ΓE P. ΓE] $A\Theta$ P. 20. τῆς AB — 23: ποιῆσαι] καὶ τὰ ἑξῆς p. 21. ΓE ὅμοιόν τε] eras. V. 22. τὸ $A\Theta$] punctis notat. F; om. B. 26. ἐστίν B, eras. ν.

Ἔστω ὅμοια τρίγωνα τὰ ΑΒΓ, ΔΕΖ ἴσην ἔχοντα τὴν πρὸς τῷ Β γωνίαν τῇ πρὸς τῷ Ε, ὡς δὲ τὴν ΑΒ πρὸς τὴν ΒΓ, οὕτως τὴν ΔΕ πρὸς τὴν ΕΖ, ὥστε ὁμόλογον εἶναι τὴν ΒΓ τῇ ΕΖ· λέγω, ὅτι τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΔΕΖ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΓ πρὸς τὴν ΕΖ.


Εἰλήφθω γὰρ τῶν ΒΓ, ΕΖ τρίτη ἀνάλογον ἡ ΒΗ, ὥστε εἶναι ὡς τὴν ΒΓ πρὸς τὴν ΕΖ, οὕτως τὴν ΕΖ πρὸς τὴν ΒΗ· καὶ ἐπεζεύχθω ἡ ΑΗ.

Ἐπεὶ οὖν ἐστιν ὡς ἡ ΑΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΔΕ πρὸς τὴν ΕΖ, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ἡ ΑΒ πρὸς τὴν ΔΕ, οὕτως ἡ ΒΓ πρὸς τὴν ΕΖ. ἀλλ' ὡς ἡ ΒΓ πρὸς ΕΖ, οὕτως ἐστὶν ἡ ΕΖ πρὸς ΒΗ. καὶ ὡς ἄρα ἡ ΑΒ πρὸς ΔΕ, οὕτως ἡ ΕΖ πρὸς ΒΗ· τῶν ΑΒΗ, ΔΕΖ ἄρα τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας. ὧν δὲ μίαν μιᾷ ἴσην ἐχόντων γωνίαν τριγώνων ἀντιπεπόνθασιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας, ἴσα ἐστὶν ἐκεῖνα. ἴσον ἄρα ἐστὶ τὸ ΑΒΗ τρίγωνον τῷ ΔΕΖ τριγώνῳ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΕΖ, οὕτως ἡ ΕΖ πρὸς τὴν ΒΗ, ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἡ πρώτη πρὸς τὴν τρίτην διπλασίονα λόγον ἔχει ἤπερ πρὸς τὴν δευτέραν, ἡ ΒΓ ἄρα πρὸς τὴν ΒΗ διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΓΒ πρὸς τὴν ΕΖ. ὡς δὲ ἡ ΓΒ πρὸς τὴν ΒΗ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΒΗ τρίγωνον·

---

2. *τῷ Β*] *τὸ Β* V, et F, sed corr. 3. *τὴν ΒΓ*] *ΒΓ* Bp; *τὴν ΓΔ* F; litt. *Β* in ras. m. 2 V. *τὴν ΕΖ*] *ΕΖ* Bp. 8. *οὕτω* PBp. 10. *ΑΒ*] *Β* in ras. PF. *τήν*] om. BFp. *οὕτω* P. 11. *τήν*] om. BFp. 12. *τήν*] bis om. BFp. 13. *πρὸς ΕΖ*] supra m. 2 F; *πρὸς τὴν ΕΖ* V. *τὴν ΒΗ* V.

Sint similes trianguli $AB\Gamma$, ΔEZ angulum ad B positum angulo ad E posito aequalem habentes,



et $AB : B\Gamma = \Delta E : EZ$, ita ut $B\Gamma$ lateri EZ respondeat. dico, esse $AB\Gamma : \Delta EZ = B\Gamma^2 : EZ^2$.

sumatur enim rectarum $B\Gamma$, EZ tertia proportionalis BH [prop. XI], ita ut sit $B\Gamma : EZ = EZ : BH$; et ducatur AH.

iam quoniam est $AB : B\Gamma = \Delta E : EZ$, permutando erit $AB : \Delta E = B\Gamma : EZ$ [V, 16]. sed $B\Gamma : EZ = EZ : BH$. quare $AB : \Delta E = EZ : BH$. itaque in triangulis ABH, ΔEZ latera aequales angulos comprehendentia in contraria proportione sunt. trianguli autem unum angulum uni aequalem habentes et quorum latera aequales angulos comprehendentia in contraria proportione sint, aequales sunt [prop. XV]. itaque $\triangle ABH = \Delta EZ$. et quoniam est $B\Gamma : EZ = EZ : BH$, et si tres rectae proportionales sunt, prima ad tertiam duplicatam rationem habet quam ad secundam [V def. 9], erit $B\Gamma : BH = \Gamma B^2 : EZ^2$. sed $\Gamma B : BH = AB\Gamma : ABH$ [prop. I]. itaque etiam

---

14. AB] B eras. F. $\tau\grave{\eta}\nu\ \Delta E$ V. $\tau\grave{\eta}\nu\ BH$ V. 15. $\ddot{\alpha}\rho\alpha$] supra m. 1 p. 17. $\tau\rho\iota\gamma\acute{\omega}\nu\omega\nu$] om. Theon (BFVp). 19. ΔEZ] Z paene eras. V. 22. $\delta\iota\pi\lambda\alpha\sigma\iota o\nu\alpha\alpha\nu\alpha$ P, sed corr. m. rec. 23. $\ddot{\varepsilon}\chi\eta$ P. $B\Gamma$] ΓB seq. ras. 1 litt. P. 24. BH] seq. ras. 1 litt. P. 25. ΓB] (prius) $B\Gamma$ V.

καὶ τὸ $AB\Gamma$ ἄρα τρίγωνον πρὸς τὸ $AB\Eta$ διπλασίονα λόγον ἔχει ἥπερ ἡ $B\Gamma$ πρὸς τὴν EZ. ἴσον δὲ τὸ $AB\Eta$ τρίγωνον τῷ ΔEZ τριγώνῳ· καὶ τὸ $AB\Gamma$ ἄρα τρίγωνον πρὸς τὸ ΔEZ τρίγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ $B\Gamma$ πρὸς τὴν EZ.

Τὰ ἄρα ὅμοια τρίγωνα πρὸς ἄλληλα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν [ὅπερ ἔδει δεῖξαι].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι, ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον [ἐπείπερ ἐδείχθη, ὡς ἡ ΓB πρὸς $B\Eta$, οὕτως τὸ $AB\Gamma$ τρίγωνον πρὸς τὸ $AB\Eta$ τρίγωνον, τουτέστι τὸ ΔEZ]. ὅπερ ἔδει δεῖξαι.

κ'.

Τὰ ὅμοια πολύγωνα εἴς τε ὅμοια τρίγωνα διαιρεῖται καὶ εἰς ἴσα τὸ πλῆθος καὶ ὁμόλογα τοῖς ὅλοις, καὶ τὸ πολύγωνον πρὸς τὸ πολύγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν.

Ἔστω ὅμοια πολύγωνα τὰ $AB\Gamma\Delta E$, $Z\Eta\Theta K\Lambda$, ὁμόλογος δὲ ἔστω ἡ AB τῇ $Z\Eta$· λέγω, ὅτι τὰ $AB\Gamma\Delta E$,

---

XX coroll. Eutocius in Archim. III p. 52, 28.

---

1. ἄρα] om. P. $AB\Eta$] B supra m. 2 in ras. V. 7. ἐστίν BF. 9. ἐάν] ἐ- in ras. m. 2 V. 10. ἔστιν] om. Bp. 11. εἶδος] P; τρίγωνον Theon (BFVp), comp. supra P m. rec. 13. τὴν $B\Eta$ V. 14. τό] om. V. τουτέστιν P. τό] supra m. 2 F. 15. δεῖξαι] ποιῆσαι V. 19. ὅλοις] post ὅ- 1 litt. eras. p. 20. ἡ] om. B. 22. $AB\Gamma\Delta E$] $AB\Gamma\Delta EZ$ P, sed. corr.

$AB\Gamma : ABH = B\Gamma^2 : EZ^2$. erat autem $ABH = \Delta EZ$. quare etiam $AB\Gamma : \Delta EZ = B\Gamma^2 : EZ^2$.

Ergo similes trianguli inter se duplicatam rationem habent quam latera correspondentia.

Corollarium.

Hinc manifestum est, si tres rectae proportionales sint, esse ut prima ad tertiam, ita figuram in prima descriptam ad figuram in secunda similem et similiter descriptam.[1]) — quod erat demonstrandum.

XX.

Similia polygona in triangulos et similes et aequales numero et totis correspondentes diuiduntur, et polygonum ad polygonum duplicatam rationem habet quam latus correspondens ad latus correspondens.

Sint similia polygona $AB\Gamma\Delta E$, $ZH\Theta K\Lambda$, et AB lateri ZH respondeat. dico, polygona $AB\Gamma\Delta E$,

1) Hoc ex proportione $AB\Gamma : \Delta EZ = B\Gamma : BH$ concludi uoluit Euclides, paullo audacius sane; nam huic corollario post prop. 20 demum locus erat. sed *τρίγωνον* lin. 11 sine dubio Theoni soli debetur; nam *εἶδος* tuentur P et Campanus et aliquatenus saltem Philoponus et Psellus (hic corollarium suo numero citat) *τετράγωνον* praebentes, quod cum scriptura *εἶδος* conciliari potest, cum *τρίγωνον* non potest. et prop. 20 coroll. 2 in P in mg. additum et a Campano omissum a Theone interpolatum merito uideri potest, id quod et ipsum sententiam meam de huius corollarii forma confirmat. tum Pappus VIII p. 1100, 15 nostrum locum respicere putandus est, et sane scriptura eius loci tam incerta est, ut inde de numero, quem indicat, corollarii nihil adfirmari possit. itaque puto, Euclidem ipsum *εἶδος* scripsisse et Theonem, quo corollarium facilius pateret, nostrum locum mutasse et prop. 20 coroll. 2 addidisse. sed uerba *ἐπείπερ* lin. 12 — ΔEZ lin. 14 interpolata esse putauerim, neque Campanus ea habuit; sed Theone antiquiora sunt.


ΖΗΘΚΛ πολύγωνα εἵς τε ὅμοια τρίγωνα διαιρεῖται καὶ εἰς ἴσα τὸ πλῆθος καὶ ὁμόλογα τοῖς ὅλοις, καὶ τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ πρὸς τὴν ΖΗ.

Ἐπεζεύχθωσαν αἱ ΒΕ, ΕΓ, ΗΛ, ΛΘ.

*Καὶ ἐπεὶ ὅμοιόν ἐστι τὸ ΑΒΓΔΕ πολύγωνον τῷ ΖΗΘΚΛ πολυγώνῳ, ἴση ἐστὶν ἡ ὑπὸ ΒΑΕ γωνία τῇ ὑπὸ ΗΖΛ. καί ἐστιν ὡς ἡ ΒΑ πρὸς ΑΕ, οὕτως ἡ ΗΖ πρὸς ΖΛ. ἐπεὶ οὖν δύο τρίγωνά ἐστι τὰ ΑΒΕ, ΖΗΛ μίαν γωνίαν μιᾷ γωνίᾳ ἴσην ἔχοντα, περὶ δὲ τὰς ἴσας γωνίας τὰς πλευρὰς ἀνάλογον, ἰσογώνιον ἄρα ἐστὶ τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ· ὥστε καὶ ὅμοιον· ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΑΒΕ γωνία τῇ ὑπὸ ΖΗΛ. ἔστι δὲ καὶ ὅλη ἡ ὑπὸ ΑΒΓ ὅλῃ τῇ ὑπὸ ΖΗΘ ἴση διὰ τὴν ὁμοιότητα τῶν πολυγώνων· λοιπὴ ἄρα ἡ ὑπὸ ΕΒΓ γωνία τῇ ὑπὸ ΛΗΘ ἐστιν ἴση. καὶ ἐπεὶ διὰ τὴν ὁμοιότητα τῶν ΑΒΕ, ΖΗΛ τριγώνων ἐστὶν ὡς ἡ ΕΒ πρὸς ΒΑ, οὕτως ἡ ΛΗ πρὸς ΗΖ, ἀλλὰ μὴν καὶ διὰ τὴν ὁμοιότητα τῶν πολυγώνων ἐστὶν ὡς ἡ ΑΒ πρὸς ΒΓ, οὕτως ἡ ΖΗ πρὸς ΗΘ, δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ἡ ΕΒ πρὸς ΒΓ, οὕτως ἡ ΛΗ πρὸς ΗΘ, καὶ περὶ τὰς ἴσας γωνίας τὰς ὑπὸ ΕΒΓ, ΛΗΘ αἱ πλευραὶ ἀνάλογόν εἰσιν· ἰσογώνιον ἄρα ἐστὶ τὸ ΕΒΓ τρίγωνον τῷ ΛΗΘ τριγώνῳ· ὥστε καὶ ὅμοιόν ἐστι τὸ ΕΒΓ τρίγωνον τῷ ΛΗΘ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΕΓΔ τρίγωνον ὅμοιόν ἐστι τῷ ΛΘΚ τριγώνῳ. τὰ ἄρα

---

5. ΛΘ] mutat. in ΛΒ F. 7. ἐστί seq. ras. 8 litt. F. 8. ΗΖΛ] ΖΗΛ F. τὴν ΑΕ V. 9. ΗΖ] ΖΗ P. τὴν ΖΛ V. 10. γωνίᾳ] γωνίαν Vφ. 11. δέ] om. F. 13. ἴση] corr. ex ἴσον m. rec. P. 15. ΖΗΘ] Η uidetur corr. V.



$ZH\Theta K\Lambda$ in triangulos et similes et aequales numero et totis correspondentes diuidi, et esse $AB\Gamma\Delta E : ZH\Theta K\Lambda = AB^2 : ZH^2$.

ducantur BE, $E\Gamma$, $H\Lambda$, $\Lambda\Theta$. et quoniam $AB\Gamma\Delta E \sim ZH\Theta K\Lambda$, erit $\angle BAE = HZ\Lambda$ [def. 1]. et $BA : AE = HZ : Z\Lambda$ [id.]. iam quoniam duo trianguli sunt ABE, $ZH\Lambda$ unum angulum uni angulo aequalem habentes et latera aequales angulos comprehendentia proportionalia, erit $\triangle ABE$ triangulo $ZH\Lambda$ aequiangulus [prop. VI]. quare etiam similes sunt [prop. IV; def. 1]. itaque $\angle ABE = ZH\Lambda$. uerum etiam $\angle AB\Gamma = ZH\Theta$ propter similitudinem polygonorum. itaque $\angle EB\Gamma = \Lambda H\Theta$. et quoniam propter similitudinem triangulorum ABE, $ZH\Lambda$ est $EB : BA = \Lambda H : HZ$, et praeterea propter similitudinem polygonorum $AB : B\Gamma = ZH : H\Theta$, ex aequo erit $EB : B\Gamma = \Lambda H : H\Theta$ [V, 22], et latera aequales angulos $EB\Gamma$, $\Lambda H\Theta$ comprehendentia proportionalia sunt; itaque $\triangle EB\Gamma$ triangulo $\Lambda H\Theta$ aequiangulus est [prop. VI]. quare $\triangle EB\Gamma \sim \Lambda H\Theta$ [prop. IV; def. 1]. eadem de causa etiam $\triangle E\Gamma\Delta \sim \Lambda\Theta K$. itaque similia polygona

---

16. *τῇ*] P, F m. 1; *λοιπῇ τῇ* BVp, F m. 2. 17. *ἴση ἐστίν* F. 18. *τὴν BA* V. 19. *ΛH*] *ΛB* φ. *τὴν HZ* V. 20. *τὴν BΓ* V. 21. *ZH*] *HZ* P. *τὴν HΘ* V. *HΘ, δι' ἴσου*] φ; uidetur fuisse alia scriptura a m. 1. *EB*] *B* e corr. F. 22. *τὴν BΓ* V. *τὴν HΘ* V. 23. *εἰσιν*] om. V. 24. *ΛHΘ*] *ΛΘH* P. 25. *ἐστι*] om. BVp. *τὸ EBΓ* — 26: *τριγώνῳ*] mg. m. 2 V; F haec uerba ut cett. codd. in textu habet, sed dein in mg. m. 1: *ὥστε καὶ ὅμοιον τὸ EBΓ τῷ ΛHΘ τριγώνῳ*. 27. *ΛΘK*] *ΛΘH* φ; corr. ex *ΛKΘ* m. 1 p.

ὅμοια πολύγωνα τὰ *ΑΒΓΔΕ*, *ΖΗΘΚΛ* εἴς τε ὅμοια τρίγωνα διήρηται καὶ εἰς ἴσα τὸ πλῆθος.

Λέγω, ὅτι καὶ ὁμόλογα τοῖς ὅλοις, τουτέστιν ὥστε ἀνάλογον εἶναι τὰ τρίγωνα, καὶ ἡγούμενα μὲν εἶναι τὰ *ΑΒΕ*, *ΕΒΓ*, *ΕΓΔ*, ἑπόμενα δὲ αὐτῶν τὰ *ΖΗΛ*, *ΛΗΘ*, *ΛΘΚ*, καὶ ὅτι τὸ *ΑΒΓΔΕ* πολύγωνον πρὸς τὸ *ΖΗΘΚΛ* πολύγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν, τουτέστιν ἡ *ΑΒ* πρὸς τὴν *ΖΗ*.

Ἐπεζεύχθωσαν γὰρ αἱ *ΑΓ*, *ΖΘ*. καὶ ἐπεὶ διὰ τὴν ομοιότητα τῶν πολυγώνων ἴση ἐστὶν ἡ ὑπὸ *ΑΒΓ* γωνία τῇ ὑπὸ *ΖΗΘ*, καί ἐστιν ὡς ἡ *ΑΒ* πρὸς *ΒΓ*, οὕτως ἡ *ΖΗ* πρὸς *ΗΘ*, ἰσογώνιόν ἐστι τὸ *ΑΒΓ* τρίγωνον τῷ *ΖΗΘ* τριγώνῳ· ἴση ἄρα ἐστὶν ἡ μὲν ὑπὸ *ΒΑΓ* γωνία τῇ ὑπὸ *ΗΖΘ*, ἡ δὲ ὑπὸ *ΒΓΑ* τῇ ὑπὸ *ΗΘΖ*. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ *ΒΑΜ* γωνία τῇ ὑπὸ *ΗΖΝ*, ἔστι δὲ καὶ ἡ ὑπὸ *ΑΒΜ* τῇ ὑπὸ *ΖΗΝ* ἴση, καὶ λοιπὴ ἄρα ἡ ὑπὸ *ΑΜΒ* λοιπῇ τῇ ὑπὸ *ΖΝΗ* ἴση ἐστίν· ἰσογώνιον ἄρα ἐστὶ τὸ *ΑΒΜ* τρίγωνον τῷ *ΖΗΝ* τριγώνῳ. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ τὸ *ΒΜΓ* τρίγωνον ἰσογωνιόν ἐστι τῷ *ΗΝΘ* τριγώνῳ. ἀνάλογον ἄρα ἐστίν, ὡς μὲν ἡ *ΑΜ* πρὸς *ΜΒ*, οὕτως ἡ *ΖΝ* πρὸς *ΝΗ*, ὡς δὲ ἡ *ΒΜ* πρὸς *ΜΓ*, οὕτως ἡ *ΗΝ* πρὸς *ΝΘ*· ὥστε καὶ δι' ἴσου, ὡς ἡ *ΑΜ* πρὸς *ΜΓ*, οὕτως ἡ *ΖΝ* πρὸς

---

2. διαιρεῖται φ. εἰς] om. BV. 5. *ΑΒΕ*] *Ε* in ras. P. αὐτῶν] sic φ, sed αὐτοῖς F. 6. *ΛΘΚ*] *ΘΚΛ* F. ὅτι] -ι in ras. P. 7. πολύγωνον] -νον sustulit lacuna pergam., supra scr. τῷ m. 2 F. 12. τὴν *ΒΓ* BFVp. 13. τὴν *ΗΘ* V. ἐστι] ἄρα ἐστί F. 14. ἴση] -η in ras. P. *ΒΑΓ*] *ΑΒΓ* F. 15. *ΗΖΘ*] *Η* corr. ex Ζ p; *ΖΗΘ* F. *ΗΘΖ*] *ΘΗΖ* F. 16. *ΒΑΜ*] PVp, B m. 1; *ΑΒΜ* F; *ΑΒΜ* B m. rec. *ΗΖΝ*] *ΖΗΝ* in ras. m. 2 B. ἔστι] P; ἐδείχθη Theon (BFVp).

$ABΓΔE, ZHΘKΛ$ in triangulos et similes et aequales numero diuisa sunt.

dico, eos etiam totis correspondere, h. e. ita ut trianguli proportionales sint et praecedentes ABE, $EBΓ, EΓΔ$ et eorum termini seqùentes[1]) $ZHΛ, ΛHΘ$, $ΛΘK$, et praeterea polygona rationem duplicatam habere quam latera correspondentia, h. e. esse

$$ABΓΔE : ZHΘKΛ = AB^2 : ZH^2.$$

ducantur enim $AΓ$, $ZΘ$. et quoniam propter similitudinem polygonorum est $\angle ABΓ = ZHΘ$, et $AB : BΓ = ZH : HΘ$, erit $\triangle ABΓ$ aequiangulus triangulo $ZHΘ$ [prop. VI]. itaque $\angle BAΓ = HZΘ$ et $\angle BΓA = HΘZ$. et quoniam $\angle BAM = HZN$ et $\angle ABM = ZHN$ [p. 132, 13], erit etiam $\angle AMB = ZNH$ [I, 32]; quare $\triangle ABM$ aequiangulus est triangulo ZHN. similiter demonstrabimus, etiam $\triangle BMΓ$ aequiangulum esse triangulo $HNΘ$. itaque $AM : MB = ZN : NH$, $BM : MΓ = HN : NΘ$ [prop. IV]. quare etiam ex aequo $AM : MΓ = ZN : NΘ$ [V, 22].

---

1) In *αὐτῶν* lin. 5 nonnihil offensionis est; sed cum *ἑπόμενα* idem sit ac *ὅροι ἑπόμενοι*, genetiuus ferri potest. et additum uidetur uocabulum, ut significetur, $ZHΛ$ esse terminum sequentem trianguli ABE, $ΛHΘ$ autem trianguli $EBΓ$, $ΛΘK$ autem trianguli $EΓΔ$. ceterum commemorandum est, tum demum adparere, triangulos totis (h. e. polygonis $ABΓΔE$, $ZHΘKΛ$) correspondere, cum demonstratum erit, esse $ABΓΔE : ZHΘKΛ = AB^2 : ZH^2$, h. e. $= ABE : ZHΛ = EBΓ : ΛHΘ = EΓΔ : ΛΘK$.

---

17. ABM] mutat. in BAM m. 2 B. ZHN] mutat. in HZN m. 2 B. AMB] $\dot{A}\ddot{B}\dot{M}$ punctis supra A et M deletis F. 20. *ἐστιν* F. 21. *ἡ μέν* p. 22. AM] M corr. ex B m. 2 V. *τὴν* MB V. NH] N in ras. m. 2 V. 23. *οὕτως καί* p.

*ΝΘ. ἀλλ' ὡς ἡ ΑΜ πρὸς ΜΓ, οὕτως τὸ ΑΒΜ [τρίγωνον] πρὸς τὸ ΜΒΓ, καὶ τὸ ΑΜΕ πρὸς τὸ ΕΜΓ· πρὸς ἄλληλα γάρ εἰσιν ὡς αἱ βάσεις. καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπόμενων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ὡς ἄρα τὸ ΑΜΒ τρίγωνον πρὸς τὸ ΒΜΓ, οὕτως τὸ ΑΒΕ πρὸς τὸ ΓΒΕ. ἀλλ' ὡς τὸ ΑΜΒ πρὸς τὸ ΒΜΓ, οὕτως ἡ ΑΜ πρὸς ΜΓ· καὶ ὡς ἄρα ἡ ΑΜ πρὸς ΜΓ, οὕτως τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΕΒΓ τρίγωνον. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ ΖΝ πρὸς ΝΘ, οὕτως τὸ ΖΗΛ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον. καί ἐστιν ὡς ἡ ΑΜ πρὸς ΜΓ, οὕτως ἡ ΖΝ πρὸς ΝΘ· καὶ ὡς ἄρα τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΒΕΓ τρίγωνον, οὕτως τὸ ΖΗΛ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον, καὶ ἐναλλὰξ ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον, οὕτως τὸ ΒΕΓ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον. ὁμοίως δὴ δείξομεν ἐπιζευχθεισῶν τῶν ΒΔ, ΗΚ, ὅτι καὶ ὡς τὸ ΒΕΓ τρίγωνον πρὸς τὸ ΛΗΘ τρίγωνον, οὕτως τὸ ΕΓΔ τρίγωνον πρὸς τὸ ΛΘΚ τρίγωνον. καὶ ἐπεί ἐστιν ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον, οὕτως τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ, καὶ ἔτι τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ, καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα· ἔστιν ἄρα ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον, οὕτως τὸ ΑΒΓΔΕ πολύγωνον πρὸς τὸ ΖΗΘΚΛ πολύγωνον. ἀλλὰ τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ΑΒ ὁμόλογος πλευρὰ πρὸς τὴν ΖΗ ὁμόλογον πλευράν· τὰ γὰρ ὅμοια τρίγωνα ἐν

---

1. ὡς *μέν* P. *οὕτως καί* p. 2. *τρίγωνον*] om. P. *πρὸς τὸ ΜΒΓ, καὶ τὸ ΑΜΕ*] mg. m. 1 om. priore *τό* P.

sed [prop. I] $AM : M\Gamma = ABM : MB\Gamma = AME : EM\Gamma$; nam eandem inter se rationem habent quam bases. itaque etiam ut unus terminorum praecedentium ad unum sequentium, ita omnes praecedentes ad omnes sequentes [V, 12]. itaque $AMB : BM\Gamma = ABE : \Gamma BE$. sed $AMB : BM\Gamma = AM : M\Gamma$. quare etiam $AM : M\Gamma = ABE : EB\Gamma$. eadem de causa erit etiam $ZN : N\Theta = ZH\Lambda : H\Lambda\Theta$. et $AM : M\Gamma = ZN : N\Theta$. quare etiam $ABE : BE\Gamma = ZH\Lambda : H\Lambda\Theta$, et permutando [V, 16] $ABE : ZH\Lambda = BE\Gamma : H\Lambda\Theta$. similiter demonstrabimus ductis $B\Delta$, HK, esse $BE\Gamma : \Lambda H\Theta = E\Gamma\Delta : \Lambda\Theta K$. et quoniam est $ABE : ZH\Lambda = EB\Gamma : \Lambda H\Theta = E\Gamma\Delta : \Lambda\Theta K$, erit etiam, ut unus terminorum praecedentium ad unum sequentium, ita omnes praecedentes ad omnes sequentes [V, 12]. itaque $ABE : ZH\Lambda = AB\Gamma\Delta E : ZH\Theta K\Lambda$. sed $ABE : ZH\Lambda = AB^2 : ZH^2$; nam similes trianguli duplicatam inter

---

τό] om. P. 4. ἄρα] om. V. 8. τὴν $M\Gamma$ V. 9. τὴν $M\Gamma$ V. 10. $N\Theta$] N in ras. B; $H\Theta$ φ (non F); τὴν $N\Theta$ V. 11. τό] om. P. 12. τὴν $M\Gamma$ BFVp. τὴν $N\Theta$ FV. 14. $H\Lambda\Theta$] corr. ex $H\Theta\Lambda$ m. 2 V. 16. $BE\Gamma$] $EB\Gamma$ V. $H\Lambda\Theta$] mutat. in $\Lambda H\Theta$ m. 2 V. 18. $BE\Gamma$] P, V m. 1; $EB\Gamma$ BFp, V m. 2. 19. $E\Gamma\Delta$ τρίγωνον] P; $E\Gamma\Delta$ Theon? (BFVp). 20. καὶ ἐπεί ἐστιν ὡς] mg. m. rec. P. 25. $ZH\Lambda$] $'H''Z\Lambda$ F. Post οὕτως eras. πρός V. 29. γάρ] ἄρα φ.

διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν. καὶ τὸ *ΑΒΓΔΕ* ἄρα πολύγωνον πρὸς τὸ *ΖΗΘΚΛ* πολύγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ *ΑΒ* ὁμόλογος πλευρὰ πρὸς τὴν *ΖΗ* ὁμόλογον πλευράν.

Τὰ ἄρα ὅμοια πολύγωνα εἴς τε ὅμοια τρίγωνα διαιρεῖται καὶ εἰς ἴσα τὸ πλῆθος καὶ ὁμόλογα τοῖς ὅλοις, καὶ τὸ πολύγωνον πρὸς τὸ πολύγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν [ὅπερ ἔδει δεῖξαι].

Πόρισμα.

Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν [ὁμοίων] τετραπλεύρων δειχθήσεται, ὅτι ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν. ἐδείχθη δὲ καὶ ἐπὶ τῶν τριγώνων· ὥστε καὶ καθόλου τὰ ὅμοια εὐθύγραμμα σχήματα πρὸς ἄλληλα ἐν διπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν. ὅπερ ἔδει δεῖξαι.

[Πόρισμα β'.

Καὶ ἐὰν τῶν *ΑΒ*, *ΖΗ* τρίτην ἀνάλογον λάβωμεν τὴν *Ξ*, ἡ *ΒΑ* πρὸς τὴν *Ξ* διπλασίονα λόγον ἔχει ἥπερ ἡ *ΑΒ* πρὸς τὴν *ΖΗ*. ἔχει δὲ καὶ τὸ πολύγωνον πρὸς τὸ πολύγωνον ἢ τὸ τετράπλευρον πρὸς τὸ τετράπλευρον διπλασίονα λόγον ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν, τουτέστιν ἡ *ΑΒ* πρὸς τὴν *ΖΗ*· ἐδείχθη δὲ τοῦτο καὶ ἐπὶ τῶν τριγώνων· ὥστε καὶ καθόλου φανερόν, ὅτι, ἐὰν τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔσται ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον.]

---

1. *ἐστίν* F. 2. *πολύγωνον*] (alt.) *πολύγονον* p. 7. *πολύγωνον*] (alt.) *πολυγώνιον* φ. 10. *πόρισμα*] om. PBV; *κα'* Fp. 11.

se rationem habent quam latera correspondentia [prop. XIX]. quare etiam

$$ABΓΔE : ZHΘKΛ = AB^2 : ZH^2.$$

Ergo similia polygona in triangulos et similes et aequales numero et totis correspondentes diuiduntur, et polygonum ad polygonum duplicatam rationem habet quam latus correspondens ad latus correspondens.

Corollarium.

Et similiter etiam in quadrilateris demonstrabitur, ea duplicatam rationem habere quam latera correspondentia; et idem in triangulis demonstratum est. quare omnino similes figurae rectilineae inter se duplicatam rationem habent quam latera correspondentia. — quod erat demonstrandum.

ὡσαύτως] ὡ- m. 2 V. *ὁμοίων*] supra m. rec. P. 12. *εἰσίν* F, *ἐστί* Bp. 15. *εἰσί*] PV, F m. 2, p; *εἰσιν* B; *ἐστι* F m. 1. 16. *ὅπερ ἔδει δεῖξαι*] P; om. Theon (BFVp). Totum corollarium om. Campanus. 17. *πόρισμα β′*] om. codd., seq. cum coroll. priore coniunctis. lin. 18—28 in mg. inferiore m. 1 P pro scholio, signo ☞ huc relatum. 18. *ZH*] *H* in ras. F. 19. *τὴν Ξ*] seq. ras. 1 litt. V; corr. ex *τῆι NΞ* F. *ἡ BA*] e corr. F. *Ξ*] post ras. F, ante ras. V (1 litt.). 20. *AB*] *BA* P. 21. *ἤ*] corr. ex *καί* m. 2 V; om. Bp. 23. *πλευρά*] P, om. BFVp. 25. *πόρισμα* mg. BVp. *καὶ φανερόν* p. 27. *εἶδος*] sequente ras. 1 litt. *φ* (uestigia sunt syllabae *-ον* F). *πρός*] supra V. 28. Sequitur alia demonstratio secundae partis propositionis, quae u. in appendice.

κα'.

Τὰ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια καὶ ἀλλήλοις ἐστὶν ὅμοια.

Ἔστω γὰρ ἑκάτερον τῶν A, B εὐθυγράμμων τῷ Γ ὅμοιον· λέγω, ὅτι καὶ τὸ A τῷ B ἐστιν ὅμοιον.

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ A τῷ Γ, ἰσογώνιόν τέ ἐστιν αὐτῷ καὶ τας περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει. πάλιν, ἐπεὶ ὅμοιόν ἐστι τὸ B τῷ Γ, ἰσογώνιόν τέ ἐστιν αὐτῷ καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει. ἑκάτερον ἄρα τῶν A, B τῷ Γ ἰσογώνιόν τέ ἐστι καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει [ὥστε καὶ τὸ A τῷ B ἰσογώνιόν τέ ἐστι καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον ἔχει]. ὅμοιον ἄρα ἐστὶ τὸ A τῷ B· ὅπερ ἔδει δεῖξαι.

κβ'.

Ἐὰν τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται· κἂν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται.


Ἔστωσαν τέσσαρες εὐθεῖαι ἀνάλογον αἱ AB, ΓΔ,

---


1. *κα'*] m. 2 V; *κγ'* Fp. 4. *τῷ Γ*] *τὸ Γ* BF, p, sed corr. m. 1. 6. *ἐστιν ὅμοιον* V. 7. *γωνίας*] supra F. 8. *πάλιν ἐπεί*] in ras. m. 2 F. *ἐστιν φ.* 9. *ἐστιν αὐτῷ*] *ἐστι* F. 11. *τε*] om. V. 12. *ἴσας*] supra m. 1 V. *ὥστε καὶ τὸ A*—14: *ἀνάλογον ἔχει*] Theon? (BFVp); om. P. 14. *τὸ A τῷ B*] Pp, V m. 1; *τὸ B τῷ A* B; *τῷ B τὸ A* V m. 2; *τὸ A τὸ A τῷ B* F m. 1; *τὸ B τῷ A τῷ B* F m. 2, del. *τῷ B*. Deinde propositionem repetit Augustus, ut fieri solet. 16.

XXI.[1])

Quae eidem figurae rectilineae similes sunt figurae, etiam inter se similes sunt.



Sit enim utraque figura rectilinea *A*, *B* figurae *Γ* similis. dico, etiam figuras *A*, *B* similes esse.



nam quoniam *A* figurae *Γ* similis est, et aequiangula est ei, et latera aequales angulos comprehendentia proportionalia habent [def. 1]. rursus quoniam *B* figurae *Γ* similis est, et aequiangula est ei, et latera aequales angulos comprehendentia proportionalia habent [def. 1]. itaque utraque figura *A*, *B* et aequiangula est figurae *Γ*, et latera aequales angulos comprehendentia proportionalia habent. quare $A \sim B$ [def. 1]; quod erat demonstrandum.

XXII.

Si quattuor rectae proportionales sunt, etiam figurae rectilineae in iis similes et similiter descriptae proportionales erunt; et si figurae rectilineae in iis similes et similiter descriptae proportionales sunt, etiam ipsae rectae proportionales erunt.

Sint quattuor rectae proportionales *AB*, *ΓΔ*, *EZ*,

---

1) Nam coroll. 2 p. 138, 17—28 Theoni uidetur deberi; u. p. 131 not. 1; om. Campanus (sed is quidem etiam coroll. 1 omisit), et in B adscribitur mg. m. rec. *ἐν ἄλλῳ οὐ γράφεται τοῦτο.*

κβ′] *κδ′* p et F, sed corr. m. rec. 17. *ὦσιν*] P et B, sed *ν* eras.; *ὦσι* F V p. 23. *εὐθεῖα* F.

EZ, HΘ, ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν HΘ, καὶ ἀναγεγράφθωσαν ἀπὸ μὲν τῶν AB, ΓΔ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ KAB, ΛΓΔ, ἀπὸ δὲ τῶν EZ, HΘ ὅμοιά τε καὶ ὁμοίως κείμενα εὐθύγραμμα τὰ MZ, NΘ· λέγω, ὅτι ἐστὶν ὡς τὸ KAB πρὸς τὸ ΛΓΔ, οὕτως τὸ MZ πρὸς τὸ NΘ.


Εἰλήφθω γὰρ τῶν μὲν AB, ΓΔ τρίτη ἀνάλογον ἡ Ξ, τῶν δὲ EZ, HΘ τρίτη ἀνάλογον ἡ O. καὶ ἐπεί ἐστιν ὡς μὲν ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν HΘ, ὡς δὲ ἡ ΓΔ πρὸς τὴν Ξ, οὕτως ἡ HΘ πρὸς τὴν O, δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ AB πρὸς τὴν Ξ, οὕτως ἡ EZ πρὸς τὴν O. ἀλλ' ὡς μὲν ἡ AB πρὸς τὴν Ξ, οὕτως [καὶ] τὸ KAB πρὸς τὸ ΛΓΔ, ὡς δὲ ἡ EZ πρὸς τὴν O, οὕτως τὸ MZ πρὸς τὸ NΘ· καὶ ὡς ἄρα τὸ KAB πρὸς τὸ ΛΓΔ, οὕτως τὸ MZ πρὸς τὸ NΘ.

Ἀλλὰ δὴ ἔστω ὡς τὶ KAB πρὸς τὸ ΛΓΔ, οὕτως τὸ MZ πρὸς τὸ NΘ· λέγω, ὅτι ἐστὶ καὶ ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν HΘ. εἰ γὰρ μή ἐστιν, ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν HΘ, ἔστω ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν ΠP, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΠP ὁποτέρῳ τῶν MZ, NΘ ὅμοιόν τε καὶ ὁμοίως κείμενον εὐθύγραμμον τὸ ΣP.

Ἐπεὶ οὖν ἐστιν ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως

---

1. *AB*] *B* supra m. 1 P; postea insert. F. *EZ*] in ras. m. 2 V; *ZE* Fp. 2. *ἀναγεγράφωσαν* p. 5. *MZ*] Z e corr. F. Post *ὅτι* ras. 2 litt. F. 6. *ΛΓΔ*] litt. *ΛΓ* in ras. m. 2 V. 11. *ΓΔ*] *Δ* eras. V. 13. *EZ*] e corr. V*φ*. 14. *καί*] om. P. *ΛΓΔ*] litt. *ΛΓ* in ras. m. 2 V, *ΓΛΔ* p. 16. *καὶ ὡς ἄρα* — 17: *τὸ NΘ*] om. BVp. 16. *ΛΓΔ*] *ΓΛΔ φ*. 18.



$H\Theta$, ita ut sit $AB : \Gamma\Delta = EZ : H\Theta$, et in AB, $\Gamma\Delta$ similes et similiter positae figurae rectilineae describantur KAB, $\Lambda\Gamma\Delta$, in EZ, $H\Theta$ autem similes et similiter positae figurae rectilineae MZ, $N\Theta$. dico, esse $KAB : \Lambda\Gamma\Delta = MZ : N\Theta$.

Sumatur enim rectarum AB, $\Gamma\Delta$ tertia proportionalis Ξ, rectarum autem EZ, $H\Theta$ tertia proportionalis O [prop. XI]. et quoniam est $AB : \Gamma\Delta = EZ : H\Theta$ et $\Gamma\Delta : \Xi = H\Theta : O$[1]), ex aequo erit [V, 22] $AB : \Xi = EZ : O$. sed $AB : \Xi = KAB : \Lambda\Gamma\Delta$ [prop. XIX coroll.] et $EZ : O = MZ : N\Theta$ [id.]. itaque etiam

Ξ ⟼ Σ O □ Π P

$$KAB : \Lambda\Gamma\Delta = MZ : N\Theta.$$

Uerum sit $KAB : \Lambda\Gamma\Delta = MZ : N\Theta$. dico, esse etiam $AB : \Gamma\Delta = EZ : H\Theta$. nam si non est $AB : \Gamma\Delta = EZ : H\Theta$, sit $AB : \Gamma\Delta = EZ : \Pi P$ [prop. XII], et in ΠP utrique MZ, $N\Theta$ similis et similiter posita construatur figura rectilinea ΣP [prop. XVIII et XXI].

Iam quoniam est $AB : \Gamma\Delta = EZ : \Pi P$, et in AB,

1) Nam ex hypothesi est $AB : \Gamma\Delta = \Gamma\Delta : \Xi$ et $EZ : H\Theta = H\Theta : O$; et $AB : \Gamma\Delta = EZ : H\Theta$.

$\Lambda\Gamma\Delta$] $\Gamma\Lambda\Delta$ F. 19. *τό*] (prius) eras. F. *ἐστίν* PB; comp. p. 20. *εἰ γὰρ μή ἐστιν, ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν HΘ*] mg. m. 1 P; om. Theon (BFVp). 22. *ἔστω ὡς ἡ AB πρὸς τὴν ΓΔ, οὕτως ἡ EZ πρὸς τὴν ΠP καὶ ἀναγεγράφθω*] P; *γεγονέτω γὰρ ὡς κτλ.* Theon (BFVp), P mg. m. rec. 23. *ἀναγεγραφω* p. 24. *ὁποτέρᾳ φ* (non F). 25. *εὐθύγραμμον*] om. BFp.

ἡ *EZ* πρὸς τὴν *ΠP*, καὶ ἀναγέγραπται ἀπὸ μὲν τῶν *AB*, *ΓΔ* ὅμοιά τε καὶ ὁμοίως κείμενα τὰ *KAB*, *ΛΓΔ*, ἀπὸ δὲ τῶν *EZ*, *ΠP* ὅμοιά τε καὶ ὁμοίως κείμενα τὰ *MZ*, *ΣP*, ἔστιν ἄρα ὡς τὸ *KAB* πρὸς τὸ *ΛΓΔ*, οὕτως τὸ *MZ* πρὸς τὸ *ΣP*. ὑπόκειται δὲ καὶ ὡς τὸ *KAB* πρὸς τὸ *ΛΓΔ*, οὕτως τὸ *MZ* πρὸς τὸ *NΘ*· καὶ ὡς ἄρα τὸ *MZ* πρὸς τὸ *ΣP*, οὕτως τὸ *MZ* πρὸς τὸ *NΘ*. τὸ *MZ* ἄρα πρὸς ἑκάτερον τῶν *NΘ*, *ΣP* τὸν αὐτὸν ἔχει λόγον· ἴσον ἄρα ἐστὶ τὸ *NΘ* τῷ *ΣP*. ἔστι δὲ αὐτῷ καὶ ὅμοιον καὶ ὁμοίως κείμενον· ἴση ἄρα ἡ *HΘ* τῇ *ΠP*. καὶ ἐπεί ἐστιν ὡς ἡ *AB* πρὸς τὴν *ΓΔ*, οὕτως ἡ *EZ* πρὸς τὴν *ΠP*, ἴση δὲ ἡ *ΠP* τῇ *HΘ*, ἔστιν ἄρα ὡς ἡ *AB* πρὸς τὴν *ΓΔ*, οὕτως ἡ *EZ* πρὸς τὴν *HΘ*.

Ἐὰν ἄρα τέσσαρες εὐθεῖαι ἀνάλογον ὦσιν, καὶ τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ἔσται· κἂν τὰ ἀπ' αὐτῶν εὐθύγραμμα ὅμοιά τε καὶ ὁμοίως ἀναγεγραμμένα ἀνάλογον ᾖ, καὶ αὐταὶ αἱ εὐθεῖαι ἀνάλογον ἔσονται· ὅπερ ἔδει δεῖξαι.

[*Λῆμμα.*]

[Ὅτι δέ, ἐὰν εὐθύγραμμα ἴσα ᾖ καὶ ὅμοια, αἱ ὁμόλογοι αὐτῶν πλευραὶ ἴσαι ἀλλήλαις εἰσίν, δείξομεν οὕτως.

Ἔστω ἴσα καὶ ὅμοια εὐθύγραμμα τὰ *NΘ*, *ΣP*, καὶ ἔστω ὡς ἡ *ΘH* πρὸς τὴν *HN*, οὕτως ἡ *PΠ* πρὸς τὴν *ΠΣ*· λέγω, ὅτι ἴση ἐστὶν ἡ *PΠ* τῇ *ΘH*.

Εἰ γὰρ ἄνισοί εἰσιν, μία αὐτῶν μείζων ἐστίν.

---

2. *KAB*, *ΛΓΔ*] *B*, *ΛΓ* litt. in ras. m. 2 V. 3. Post *ΠP* duae litt. del. m. rec. P. 7. *NΘ*] in ras. m. 1 P. *ΣP*]

$\Gamma\Delta$ similes et similiter positae descriptae sunt KAB, $\Lambda\Gamma\Delta$, in EZ, ΠP autem similes et similiter positae MZ, ΣP, erit $KAB : \Lambda\Gamma\Delta = MZ : \Sigma P$ [u. supra]. sed supposuimus, esse etiam $KAB : \Lambda\Gamma\Delta = MZ : N\Theta$. itaque $MZ : \Sigma P = MZ : N\Theta$. itaque MZ ad utramque $N\Theta$, ΣP eandem rationem habet. quare $N\Theta = \Sigma P$ [V, 9]. uerum etiam ei similis est et similiter posita. itaque $H\Theta = \Pi P$.[1]) et quoniam est $AB : \Gamma\Delta = EZ : \Pi P$, et $\Pi P = H\Theta$, erit $AB : \Gamma\Delta = EZ : H\Theta$.

Ergo si quattuor rectae proportionales sunt, etiam figurae rectilineae in iis similes et similiter descriptae proportionales erunt; et si figurae rectilineae in iis similes et similiter descriptae proportionales sunt, etiam ipsae rectae proportionales erunt; quod erat demonstrandum.

---

1) Nam cum $N\Theta : \Sigma P = H\Theta^2 : \Pi P^2$ [prop. 20] et $N\Theta = \Sigma P$, erit $\Pi P^2 = H\Theta^2$; h. e. $\Pi P = H\Theta$. et hoc ipsum uia indirecta in lemmate ostenditur; sed cum a ratione Euclidis abhorreat, eius modi res postea demum demonstrare nec suo loco in demonstratione insertas, puto, lemma subditiuum esse (sed Theone antiquius est); om. Campanus, nec res propria demonstratione eget.

---

corr. ex EP P, in ras. V; supra hoc uocabulum et proxime sequentia in V ras. est. MZ] in ras. V; Z insert. m. 1 F. 8. $N\Theta$] in ras. V. 9. *λόγον ἔχει* p. *ἐστίν* P, comp. p. 10. *αὐτό* p. 11. *ἄρα*] supra add. *καί* m. 2 comp. F; *ἄρα ἐστίν* V. 15. *ὥσι* V. 16. *ἀναγεγραμμένα*] seq. insert. in ras. m. 1 F. 18. *καί*] m. 2 V. 21. *λῆμμα*] *κε΄* p et ε eraso F; m. rec. PBV. 22. *δέ*] m. rec. P. *ἤ*] om. V. Post *ὅμοια* add. V m. 2: *ἐστιν*. 23. *εἰσί* BFVp. *δείξομεν*] corr. ex *δείξωμεν* m. 1 P. 25. *τά*] e corr. V. $N\Theta$, ΣP] inter N et Θ ras. 1 litt., item inter Σ et P V. 26. $P\Pi$] mutat. in ΠP m. 2 V; ΠP Bp. 27. *τήν*] om. F. 28. *ἄνισος* V. *εἰσιν*] PB; *εἰσι* Fp; *ἐστιν* V.

ἔστω μείζων ἡ ΡΠ τῆς ΘΗ. καὶ ἐπεί ἐστιν ὡς ἡ ΡΠ πρὸς ΠΣ, οὕτως ἡ ΘΗ πρὸς τὴν ΗΝ, καὶ ἐναλλάξ, ὡς η ΡΠ πρὸς τὴν ΘΗ, οὕτως ἡ ΠΣ προς τὴν ΗΝ, μείζων δὲ ἡ ΠΡ τῆς ΘΗ, μείζων ἄρα καὶ ἡ ΠΣ τῆς ΗΝ· ὥστε καὶ τὸ ΡΣ μεῖζόν ἐστι τοῦ ΘΝ. ἀλλὰ καὶ ἴσον· ὅπερ ἀδύνατον. οὐκ ἄρα ἄνισός ἐστιν ἡ ΠΡ τῇ ΗΘ· ἴση ἄρα· ὅπερ ἔδει δεῖξαι.]

κγ′.

Τὰ ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Ἔστω ἰσογώνια παραλληλόγραμμα τὰ ΑΓ, ΓΖ ἴσην ἔχοντα τὴν ὑπὸ ΒΓΔ γωνίαν τῇ ὑπὸ ΕΓΗ· λέγω, ὅτι τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Κείσθω γὰρ ὥστε ἐπ᾽ εὐθείας εἶναι τὴν ΒΓ τῇ ΓΗ· ἐπ᾽ εὐθείας ἄρα ἐστὶ καὶ ἡ ΔΓ τῇ ΓΕ. καὶ συμπεπληρώσθω τὸ ΔΗ παραλληλόγραμμον, καὶ ἐκκείσθω τις εὐθεῖα ἡ Κ, καὶ γεγονέτω ὡς μὲν ἡ ΒΓ πρὸς τὴν ΓΗ, οὕτως ἡ Κ πρὸς τὴν Λ, ὡς δὲ ἡ ΔΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ Λ πρὸς τὴν Μ.

Οἱ ἄρα λόγοι τῆς τε Κ πρὸς τὴν Λ καὶ τῆς Λ πρὸς τὴν Μ οἱ αὐτοί εἰσι τοῖς λόγοις τῶν πλευρῶν, τῆς τε ΒΓ πρὸς τὴν ΓΗ καὶ τῆς ΔΓ πρὸς τὴν ΓΕ. ἀλλ᾽ ὁ τῆς Κ πρὸς Μ λόγος σύγκειται ἔκ τε τοῦ τῆς Κ πρὸς Λ λόγου καὶ τοῦ τῆς Λ πρὸς Μ· ὥστε καὶ ἡ Κ πρὸς τὴν Μ λόγον ἔχει τὸν συγκείμενον


XXIII. Theon in Ptolem. p. 235. Eutoc. in Apollon. p. 32, id. in Archimed. III p. 236, 23.

---

1. *μείζων — 4: μείζων ἄρα*] insert. in ras. F. 1. *ΡΠ*] *ΠΡ* P. 2. *ΡΠ*] *ΠΡ* P. *τὴν ΠΣ* V. *πρὸς τήν*] *πρός* BFp. 3.

XXIII.

Parallelogramma aequiangula inter se rationem ex rationibus laterum compositam habent.



Sint parallelogramma aequiangula $A\Gamma$, ΓZ habentia

$$\angle B\Gamma\Delta = E\Gamma H.$$

dico, parallelogramma $A\Gamma$, ΓZ rationem ex rationibus[1]) laterum compositam habere.

ponantur enim ita, ut in eadem recta sint $B\Gamma$, ΓH. itaque etiam $\Delta\Gamma$, ΓE in eadem recta sunt. et expleatur parallelogrammum ΔH, et ponatur recta K, et sit

$$B\Gamma : \Gamma H = K : \Lambda \text{ et } \Delta\Gamma : \Gamma E = \Lambda : M.$$

itaque rationes $K : \Lambda$ et $\Lambda : M$ eaedem sunt ac rationes laterum, $B\Gamma : \Gamma H$ et $\Delta\Gamma : \Gamma E$. sed $K : M = K : \Lambda \times \Lambda : M$. quare K ad M rationem ex rationibus laterum compositam habet. et quoniam est

1) *Ἐκ τῶν πλευρῶν* per totam propositionem neglegentius dicitur pro *ἐκ τῶν τῶν πλευρῶν* (*λόγων*); sed cum semper ita in codicibus traditum sit et idem apud Theonem et Eutocium seruatum sit, de errore librarii cogitandum non est.

ΡΠ] *ΠΡ* P. *τήν*] om. BFp. *οὕτως*] om. BFp. 4. *τήν*] om. BFp. *ΠΡ*] P, V m. 1; *ΡΠ* Bp, V m. 2, F? *μείζων ἄρα*] bis p. 5. *μείζων* F. 6. *ΘΝ*] *Ν* e corr. m. 2 V, eras. F. 7. *ΗΘ*] *ΘΗ* P. *ἄρα ἐστίν* P. 8. *κς΄* p et deleto *ς* F. 11. *ἴσον* V, corr. m. 2. 12. *ΕΓΗ*] mutat. in *ΕΓΘ* B. 13. *ΓΖ*] in ras. m. 1 V. 14. *πλευρῶν*] P; *πλευρῶν τοῦ τε ὃν ἔχει ἡ ΒΓ* (corr. ex *ΓΒ* p) *πρὸς ΓΗ* (*τῇ ΓΗ* V, *ΓΗ* mutat. in *ΓΘ* B) *καὶ τοῦ ὃν ἔχει ἡ ΔΓ πρὸς ΓΕ* (*τὴν ΓΕ* V) Theon (BFVp). 16. *ΓΗ*] mutat. in *ΓΘ* B. *ἐστίν* B. 17. *ΔΗ*] mutat. in *ΔΘ* B. 18. *Κ*] post ras. 1 litt. F. 19. *ΓΗ*] mutat. in *ΓΘ* B. 21. *τήν*] om. BFp. 22. *τήν*] om. BFp. *εἰσιν* PF. 23. *τήν*] om. Bp. *ΓΗ*] mutat. in *ΓΘ* B. *τήν*] om. Bp.

ἐκ τῶν πλευρῶν. καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΓΗ, οὕτως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΘ, ἀλλ' ὡς ἡ ΒΓ πρὸς τὴν ΓΗ, οὕτως ἡ Κ πρὸς τὴν Λ, καὶ ὡς ἄρα ἡ Κ πρὸς τὴν Λ, οὕτως τὸ ΑΓ πρὸς τὸ ΓΘ. πάλιν, ἐπεί ἐστιν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΕ, οὕτως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ, ἀλλ' ὡς ἡ ΔΓ πρὸς τὴν ΓΕ, οὕτως ἡ Λ πρὸς τὴν Μ, καὶ ὡς ἄρα ἡ Λ πρὸς τὴν Μ, οὕτως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον. ἐπεὶ οὖν ἐδείχθη, ὡς μὲν ἡ Κ πρὸς τὴν Λ, οὕτως τὸ ΑΓ παραλληλόγραμμον πρὸς τὸ ΓΘ παραλληλόγραμμον, ὡς δὲ ἡ Λ πρὸς τὴν Μ, οὕτως τὸ ΓΘ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον, δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ Κ πρὸς τὴν Μ, οὕτως τὸ ΑΓ πρὸς τὸ ΓΖ παραλληλόγραμμον. ἡ δὲ Κ πρὸς τὴν Μ λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· καὶ τὸ ΑΓ ἄρα πρὸς τὸ ΓΖ λόγον ἔχει τον συγκείμενον ἐκ τῶν πλευρῶν.

Τὰ ἄρα ἰσογώνια παραλληλόγραμμα πρὸς ἄλληλα λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· ὅπερ ἔδει δεῖξαι.

κδ'.

Παντὸς παραλληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις.

Ἔστω παραλληλόγραμμον τὸ ΑΒΓΔ, διάμετρος δὲ αὐτοῦ ἡ ΑΓ, περὶ δὲ τὴν ΑΓ παραλληλόγραμμα ἔστω τὰ ΕΗ, ΘΚ· λέγω, ὅτι ἑκάτερον τῶν ΕΗ, ΘΚ παραλληλογράμμων ὅμοιόν ἐστι ὅλῳ τῷ ΑΒΓΔ καὶ ἀλλήλοις.

---

1. *τήν*] m. 2 F. 2. *ΓΗ*] mutat. in *ΓΘ* B. *ΓΘ*] mutat. in *ΓΗ* B. 3. *ἡ*] om. p. *τήν*] om. BFp. *ΓΗ*]

$B\Gamma : \Gamma H = A\Gamma : \Gamma\Theta$ [prop. I], et $B\Gamma : \Gamma H = K : \Lambda$, erit etiam $K : \Lambda = A\Gamma : \Gamma\Theta$. rursus quoniam est $\Delta\Gamma : \Gamma E = \Gamma\Theta : \Gamma Z$ [prop. I], et $\Delta\Gamma : \Gamma E = \Lambda : M$, erit etiam $\Lambda : M = \Gamma\Theta : \Gamma Z$. iam quoniam demonstratum est, esse $K : \Lambda = A\Gamma : \Gamma\Theta$ et $\Lambda : M = \Gamma\Theta : \Gamma Z$, ex aequo [V, 22] erit $K : M = A\Gamma : \Gamma Z$. sed K ad M rationem ex rationibus laterum compositam habet. quare etiam $A\Gamma$ ad ΓZ rationem ex rationibus laterum compositam habet.

Ergo parallelogramma aequiangula inter se rationem ex rationibus laterum compositam habent; quod erat demonstrandum.

XXIV.

In quouis parallelogrammo parallelogramma circum diametrum posita similia sunt et toti et inter se.

Sit parallelogrammum $AB\Gamma\Delta$, diametrus autem eius $A\Gamma$, et parallelogramma circum $A\Gamma$ posita sint EH, ΘK. dico, parallelogramma EH, ΘK similia esse et toti $AB\Gamma\Delta$ et inter se.

---


mutat. in $\Gamma\Theta$ B. 4. *τό*] *ἡ* p. $A\Gamma$] AK e corr. V; Γ mutat. in Δ m. recentissima p. 5. *τό*] *τήν* p. $\Gamma\Theta$] mutat. in ΓH B; Γ mutat. in Δ m. recentiss. p. 6. $\Gamma\Theta$] mutat. in ΓH B. 7. *τήν*] om. BFp. *τήν*] om. P. 10. *ἡ μέν* p. 11. $\Gamma\Theta$] mutat. in ΓH B. *ἡ*] *τό* φ (non F). 12. $\Gamma\Theta$] mutat. in $E\Theta$ F, in ΓH B. 14. $A\Gamma$] PV; $A\Gamma$ *παραλληλόγραμμον* Bp et comp. F. In figura litterae H, Θ in B permutatae sunt a m. 1, sed mutationes in textu huc spectantes a m. 2 uidentur esse. 16. *ἄρα*] m. 2 V. 17. *συγκειμένων* P, corr. m. 1. 21. *κζ'* Fp. 23. *ἐστιν* PB; comp. p. 27. EH] (alt.) in ras. F. 28. *ἐστιν* PBF; comp. p. *ὅλῳ*] m. 2 V.

Ἐπεὶ γὰρ τριγώνου τοῦ $AB\Gamma$ παρὰ μίαν τῶν πλευρῶν τὴν $B\Gamma$ ἦκται ἡ EZ, ἀνάλογόν ἐστιν ὡς ἡ BE πρὸς τὴν EA, οὕτως ἡ ΓZ πρὸς τὴν ZA. πάλιν, ἐπεὶ τριγώνου τοῦ $A\Gamma\Delta$ παρὰ μίαν τὴν $\Gamma\Delta$ ἦκται ἡ ZH, ἀνάλογόν ἐστιν ὡς ἡ ΓZ πρὸς τὴν ZA, οὕτως ἡ ΔH πρὸς τὴν HA. ἀλλ' ὡς ἡ ΓZ πρὸς τὴν ZA, οὕτως ἐδείχθη καὶ ἡ BE πρὸς τὴν EA· καὶ ὡς ἄρα ἡ BE πρὸς τὴν EA, οὕτως ἡ ΔH πρὸς τὴν HA, καὶ συνθέντι ἄρα ὡς ἡ BA πρὸς AE, οὕτως ἡ ΔA πρὸς AH, καὶ ἐναλλὰξ ὡς ἡ BA πρὸς τὴν $A\Delta$, οὕτως ἡ EA πρὸς τὴν AH. τῶν ἄρα $AB\Gamma\Delta$, EH παραλληλογράμμων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὴν κοινὴν γωνίαν τὴν ὑπὸ $BA\Delta$. καὶ ἐπεὶ παράλληλός ἐστιν ἡ HZ τῇ $\Delta\Gamma$, ἴση ἐστὶν ἡ μὲν ὑπὸ AZH γωνία τῇ ὑπὸ $\Delta\Gamma A$· καὶ κοινὴ τῶν δύο τριγώνων τῶν $A\Delta\Gamma$, AHZ ἡ ὑπὸ $\Delta A\Gamma$ γωνία· ἰσογώνιον ἄρα ἐστὶ τὸ $A\Delta\Gamma$ τρίγωνον τῷ AHZ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ $A\Gamma B$ τρίγωνον ἰσογώνιόν ἐστι τῷ AZE τριγώνῳ, καὶ ὅλον τὸ $AB\Gamma\Delta$ παραλληλόγραμμον τῷ EH παραλληλογράμμῳ ἰσογώνιόν ἐστιν. ἀνάλογον ἄρα ἐστὶν ὡς ἡ $A\Delta$ πρὸς τὴν $\Delta\Gamma$, οὕτως ἡ AH πρὸς τὴν HZ, ὡς δὲ ἡ $\Delta\Gamma$ πρὸς τὴν ΓA, οὕτως ἡ HZ πρὸς τὴν ZA, ὡς δὲ ἡ $A\Gamma$ πρὸς τὴν ΓB, οὕτως ἡ AZ πρὸς τὴν ZE, καὶ ἔτι ὡς ἡ ΓB πρὸς τὴν BA, οὕτως ἡ ZE πρὸς τὴν EA.

---

2. *τήν*] in ras. m. 2 V, corr. ex *τῆ* m. 2 P. EZ] HZ m. rec. p. 3. BE] mutat. in BH m. rec. p. EA] mutat. in HA m. rec. p; $B\Delta$ φ. 4. $A\Gamma\Delta$] PF, V m. 1; $A\Delta\Gamma$ Bp, V m. 2. 5. ZH] mutat. in ZE m. rec. p. 6. ΔH] mutat. in ΔE m. rec. p. 8. EA] (prius) $E\Delta$ φ (non F). Seq. in p: *οὕτως ἡ* ΔH *πρὸς τὴν* HA *καὶ συνθέντι ἄρα*, del. m. 1. *οὕτως καί* p. 9. *ἄρα*] om. P. 10. *τὴν* AE V. *οὕτως*] om. BFp. *τὴν* AH V. BA] AB p. 12. *ἄρα*] P; om.

nam quoniam in triangulo $AB\Gamma$ uni lateri $B\Gamma$ parallela ducta est EZ, erit $BE : EA = \Gamma Z : ZA$ [prop. II]. rursus quoniam in triangulo $A\Gamma\Delta$ uni lateri $\Gamma\Delta$ parallela ducta est ZH, erit



$$\Gamma Z : ZA = \Delta H : HA$$

[id.]. sed demonstratum est, esse $\Gamma Z : ZA = BE : EA$. quare etiam $BE : EA = \Delta H : HA$, et componendo [V, 18]

$$BA : AE = \Delta A : AH,$$

et permutando [V,16] $BA : A\Delta = EA : AH$. itaque latera communem angulum $BA\Delta$ comprehendentia parallelogrammorum $AB\Gamma\Delta$, EH proportionalia sunt. et quoniam HZ rectae $\Delta\Gamma$ parallela est, erit $\angle AZH = \Delta\Gamma A$ [I, 29]; et duorum triangulorum $A\Delta\Gamma$, AHZ communis est $\angle \Delta A\Gamma$. itaque triangulus $A\Delta\Gamma$ aequiangulus est triangulo AHZ [I, 32]. eadem de causa etiam triangulus $A\Gamma B$ triangulo AZE aequiangulus est, et totum parallelogrammum $AB\Gamma\Delta$ parallelogrammo EH aequiangulum est. itaque[1]) erit $A\Delta : \Delta\Gamma = AH : HZ$, $\Delta\Gamma : \Gamma A = HZ : ZA$ et $A\Gamma : \Gamma B = AZ : ZE$, $\Gamma B : BA = ZE : EA$ [prop. IV].

1) Hoc ἄρα lin. 21 non ad ultima uerba, sed ad proxime antecedentia lin. 17—19 refertur.

BFVp. EH] E postea insert. F; deinde ἄρα add. m. 2 BFV. 13. αἱ] (alt.) om. F. 14. ἴση] ἴση δέ F. 15. AZH] P; AHZ Theon (BFVp). γωνία] m. 2 V. τῇ] P; τῇ ὑπὸ $A\Delta\Gamma$ ἡ δὲ ὑπὸ HZA (ZHA F) τῇ Theon (BFVp). 16. AHZ] PF, V m. 1; AZH Bp, V m. 2. 17. γωνία] om. Bp. τὸ $A\Delta\Gamma$] P, V m. 1; om. F; τὸ $\Delta A\Gamma$ Bp, V m. 2. 18. AHZ] litt. HZ e corr. p. $A\Gamma B$] $AB\Gamma$ V. 19. ὅλον] ὅλον ἄρα V. 20. ἰσογώνιόν ἐστι τῷ EH παραλληλογράμμῳ V. 25. EA] AE, eraso E F.

καὶ ἐπεὶ ἐδείχθη ὡς μὲν ἡ ΔΓ πρὸς τὴν ΓΑ, οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΑ, ὡς δὲ ἡ ΑΓ πρὸς τὴν ΓΒ, οὕτως ἡ ΑΖ πρὸς τὴν ΖΕ, δι' ἴσου ἄρα ἐστὶν ὡς ἡ ΔΓ πρὸς τὴν ΓΒ, οὕτως ἡ ΗΖ πρὸς τὴν ΖΕ. τῶν ἄρα ΑΒΓΔ, ΕΗ παραλληλογράμμων ἀνάλογόν εἰσιν αἱ πλευραὶ αἱ περὶ τὰς ἴσας γωνίας· ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓΔ παραλληλόγραμμον τῷ ΕΗ παραλληλογράμμῳ. διὰ τὰ αὐτὰ δὴ τὸ ΑΒΓΔ παραλληλόγραμμον καὶ τῷ ΚΘ παραλληλογράμμῳ ὅμοιόν ἐστιν· ἑκάτερον ἄρα τῶν ΕΗ, ΘΚ παραλληλογράμμων τῷ ΑΒΓΔ [παραλληλογράμμῳ] ὅμοιόν ἐστιν. τὰ δὲ τῷ αὐτῷ εὐθυγράμμῳ ὅμοια καὶ ἀλλήλοις ἐστὶν ὅμοια· καὶ τὸ ΕΗ ἄρα παραλληλόγραμμον τῷ ΘΚ παραλληλογράμμῳ ὅμοιόν ἐστιν.

Παντὸς ἄρα παραλληλογράμμου τὰ περὶ τὴν διάμετρον παραλληλόγραμμα ὅμοιά ἐστι τῷ τε ὅλῳ καὶ ἀλλήλοις· ὅπερ ἔδει δεῖξαι.

κε'.

Τῷ δοθέντι εὐθυγράμμῳ ὅμοιον καὶ ἄλλῳ τῷ δοθέντι ἴσον τὸ αὐτὸ συστήσασθαι.

Ἔστω τὸ μὲν δοθὲν εὐθύγραμμον, ᾧ δεῖ ὅμοιον συστήσασθαι, τὸ ΑΒΓ, ᾧ δὲ δεῖ ἴσον, τὸ Δ· δεῖ δὴ τῷ μὲν ΑΒΓ ὅμοιον, τῷ δὲ Δ ἴσον τὸ αὐτὸ συστήσασθαι.

XXV. Hero def. 116. Eutocius in Apollon. p. 53.

---

1. ΓΑ] Γ eras. F. 2. ΗΖ] ΖΗ Fp. ΑΓ] eras. F. 3. ΓΒ] Β eras. F. 4. ΓΒ] ΒΓ P. 6. εἰσιν] εἰ- eras. F. 7. τό] corr. ex τῷ m. 2 V. παραλληλόγραμμον] corr. ex παραλληλογράμμῳ m. 2 V. τῷ] corr. ex τό m. 2 V. παραλληλόγραμμον V, corr. m. 2. 8. δή] δὴ καί F; καί add. V m. 2. 9. καί] m. 2 F. ΚΘ] ΘΚ P. 11. παραλλη-

et quoniam demonstratum est, esse $\Delta\Gamma : \Gamma A = HZ : ZA$ et $A\Gamma : \Gamma B = AZ : ZE$, ex aequo erit [V, 22] $\Delta\Gamma : \Gamma B = HZ : ZE$. ergo in parallelogrammis $AB\Gamma\Delta$, EH latera aequales angulos comprehendentia proportionalia sunt.[1]) itaque $AB\Gamma\Delta \sim EH$ [def. 1].[2]) eadem de causa etiam $AB\Gamma\Delta \sim K\Theta$. itaque utrumque parallelogrammum EH, ΘK parallelogrammo $AB\Gamma\Delta$ simile est. quae autem eidem figurae rectilineae similes sunt figurae, etiam inter se similes sunt [prop. XXI]. quare etiam $EH \sim \Theta K$.

Ergo in quouis parallelogrammo parallelogramma circum diametrum posita similia sunt et toti et inter se; quod erat demonstrandum.

XXV.

Datae figurae rectilineae similem et alii figurae datae aequalem eandem figuram construere.

Sit data figura rectilinea, cui similem figuram oporteat construere, $AB\Gamma$, cui autem aequalem oporteat, Δ. oportet igitur figuram construere figurae $AB\Gamma$ similem, figurae autem Δ eandem aequalem.

---

1) Nam demonstrauimus $BA : A\Delta = EA : AH$ (p. 150, 10), $A\Delta : \Delta\Gamma = AH : HZ$ (p. 150, 21), $HZ : ZE = \Delta\Gamma : \Gamma B$ (lin. 4), $ZE : EA = \Gamma B : BA$ (p. 150, 25).

2) Nam etiam aequiangula sunt (p. 150, 20). — hac ratione diluuntur, opinor, cauillationes Simsoni p. 378; quamquam confitendum est, Euclidem hic nonnihil a solito ordine dilucido defecisse.

λογράμμῳ] om. P. ἐστιν] F, comp. p; ἐστι PBV. 12. ἐστίν] εἰσιν V. 13. ἄρα] om. p. ΘK] Θ in ras. V. 14. ἐστιν] comp. Vp; ἐστι PBF. 16. τε] m. 2 F. 18. κη′ Fp. 20. συνστήσασθαι P; corr. m. rec. 21. Post ὧ eras. δέ B. 22. συνστήσασθαι P; corr. m. rec. δὲ δεῖ ἴσον] in ras. m. 2 V. 23. τῷ] (prius) corr. ex τό m. 1 p; τό F. συνστήσασθαι P; corr. m. rec.

Παραβεβλήσθω γὰρ παρὰ μὲν τὴν ΒΓ τῷ ΑΒΓ τριγώνῳ ἴσον παραλληλόγραμμον τὸ ΒΕ, παρὰ δὲ τὴν ΓΕ τῷ Δ ἴσον παραλληλόγραμμον τὸ ΓΜ ἐν γωνίᾳ τῇ ὑπὸ ΖΓΕ, ἥ ἐστιν ἴση τῇ ὑπὸ ΓΒΛ. ἐπ' εὐθείας ἄρα ἐστὶν ἡ μὲν ΒΓ τῇ ΓΖ, ἡ δὲ ΛΕ τῇ ΕΜ. καὶ εἰλήφθω τῶν ΒΓ, ΓΖ μέση ἀνάλογον ἡ ΗΘ, καὶ ἀναγεγράφθω ἀπὸ τῆς ΗΘ τῷ ΑΒΓ ὅμοιόν τε καὶ ὁμοίως κείμενον τὸ ΚΗΘ.


Καὶ ἐπεί ἐστιν ὡς ἡ ΒΓ πρὸς τὴν ΗΘ, οὕτως ἡ ΗΘ πρὸς τὴν ΓΖ, ἐὰν δὲ τρεῖς εὐθεῖαι ἀνάλογον ὦσιν, ἔστιν ὡς ἡ πρώτη πρὸς τὴν τρίτην, οὕτως τὸ ἀπὸ τῆς πρώτης εἶδος πρὸς τὸ ἀπὸ τῆς δευτέρας τὸ ὅμοιον καὶ ὁμοίως ἀναγραφόμενον, ἔστιν ἄρα ὡς ἡ ΒΓ προς τὴν ΓΖ, οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΚΗΘ τρίγωνον. ἀλλὰ καὶ ὡς ἡ ΒΓ πρὸς τὴν ΓΖ, οὕτως τὸ ΒΕ παραλληλόγραμμον πρὸς τὸ ΕΖ παραλληλόγραμμον. καὶ ὡς ἄρα τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΚΗΘ τρίγωνον, οὕτως τὸ ΒΕ παραλληλόγραμμον πρὸς τὸ ΕΖ παραλληλόγραμμον· ἐναλλὰξ ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὶ ΒΕ παραλληλόγραμμον, οὕτως τὸ ΚΗΘ τρίγωνον πρὸς τὸ ΕΖ παραλληλόγραμμον. ἴσον δὲ τὸ ΑΒΓ τρίγωνον τῷ ΒΕ παραλληλογράμμῳ· ἴσον ἄρα καὶ τὸ ΚΗΘ τρίγωνον τῷ ΕΖ παραλληλογράμμῳ. ἀλλὰ τὸ ΕΖ παραλληλόγραμμον τῷ Δ ἐστιν ἴσον· καὶ τὸ ΚΗΘ ἄρα τῷ Δ ἐστιν ἴσον. ἔστι δὲ τὸ ΚΗΘ καὶ τῷ ΑΒΓ ὅμοιον.

Τῷ ἄρα δοθέντι εὐθυγράμμῳ τῷ ΑΒΓ ὅμοιον

---

1. *τῷ ΑΒΓ*] supra F. 4. *ΓΒΛ*] *ΓΒΑ* φ. 5. *ΒΓ*] Pφ, V m. 1; *ΓΒ* Bp, V m. 2. 6. *καὶ εἰλήφθω*] *περιειλήφθω* φ post ras. 7. *ΗΘ*] (prius) eras. F. *τῷ*] *τό* F.

Nam rectae $B\Gamma$ triangulo $AB\Gamma$ aequale adplicetur parallelogrammum BE [I, 44], rectae autem ΓE



figurae Δ aequale parallelogrammum ΓM in angulo $Z\Gamma E$ aequali angulo $\Gamma B\Lambda$ [I, 45]. itaque $B\Gamma$, ΓZ in eadem recta sunt et item ΛE, EM. et sumatur rectarum $B\Gamma$, ΓZ media proportionalis $H\Theta$ [prop. XIII], et in $H\Theta$ triangulo $AB\Gamma$ similis et similiter positus construatur $KH\Theta$ [prop. XVIII]. et quoniam est $B\Gamma : H\Theta = H\Theta : \Gamma Z$, et si tres rectae proportionales sunt, est ut prima ad tertiam, ita figura in prima descripta ad figuram in secunda similem et similiter descriptam [prop. XIX coroll.], erit

$$B\Gamma : \Gamma Z = AB\Gamma : KH\Theta.$$

uerum etiam $B\Gamma : \Gamma Z = BE : EZ$ [prop. I]. quare etiam $AB\Gamma : KH\Theta = BE : EZ$. permutando igitur [V, 16] $AB\Gamma : BE = KH\Theta : EZ$. sed $AB\Gamma = BE$. itaque etiam $KH\Theta = EZ$. sed $EZ = \Delta$. quare etiam $KH\Theta = \Delta$. erat autem etiam $KH\Theta \sim AB\Gamma$.

Ergo datae figurae rectilineae $AB\Gamma$ similis et

---

8. τε] om. V. 10. ἡ] eras. F. 11. ἔστιν] om. P. 15. τρίγωνον] om. V. Supra $B\Gamma$ scr. βάσις et supra ΓZ lin. 16 βάσιν m. rec. P. 17. καὶ ὡς ἄρα — 19: παραλληλόγραμμον] bis p; corr. m. 1. 19. EZ] ZE p (sed in repetitione EZ). 25. ἴσον· καί] in mg. transit F. $KH\Theta$] in ras. m. 2 F. ἄρα τῷ Δ ἐστιν ἴσον] om. F. 26. ἔστι δὲ τό] φ cum ras. 2 litt. ante τό.

καὶ ἄλλῳ τῷ δοθέντι τῷ Δ ἴσον το αὐτὸ συνέσταται τὸ ΚΗΘ· ὅπερ ἔδει ποιῆσαι.

κϛ'.

Ἐὰν ἀπὸ παραλληλογράμμου παραλληλόγραμμον ἀφαιρεθῇ ὅμοιόν τε τῷ ὅλῳ καὶ ὁμοίως κείμενον κοινὴν γωνίαν ἔχον αὐτῷ, περὶ τὴν αὐτὴν διάμετρόν ἐστι τῷ ὅλῳ.

Εἰ δὲ οὐ μετρεῖ ὁ ΓΔ τὸν AB, τῶν AB, ΓΔ ἀνθυφαιρουμένου ἀεὶ τοῦ ἐλάσσονος ἀπὸ τοῦ μείζονος λειφθήσεταί τις ἀριθμός, ὃς μετρήσει τὸν πρὸ ἑαυτοῦ. μονὰς μὲν γὰρ οὐ λειφθήσεται· εἰ δὲ μή, ἔσονται οἱ AB, ΓΔ πρῶτοι πρὸς ἀλλήλους· ὅπερ οὐχ ὑπόκειται. λειφθήσεταί τις ἄρα ἀριθμὸς, ὃς μετρήσει τὸν πρὸ ἑαυτοῦ. καὶ ὁ μὲν ΓΔ τὸν BE μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν EA, ὁ δὲ EA τὸν ΔZ μετρῶν λειπέτω ἑαυτοῦ ἐλάσσονα τὸν ZΓ, ὁ δὲ ΓZ τὸν AE μετρείτω. ἐπεὶ οὖν ὁ ΓZ τὸν AE μετρεῖ, ὁ δὲ AE τὸν ΔZ μετρεῖ, καὶ ὁ ΓZ ἄρα τὸν ΔZ μετρήσει· μετρεῖ δὲ καὶ ἑαυτόν· καὶ ὅλον ἄρα τὸν ΓΔ μετρήσει. ὁ δὲ ΓΔ τὸν BE μετρεῖ· καὶ ὁ ΓZ ἄρα τὸν BE μετρεῖ· μετρεῖ δὲ καὶ τὸν EA· καὶ ὅλον ἄρα τὸν BA μετρήσει· μετρεῖ δὲ καὶ τὸν ΓΔ· ὁ ΓZ ἄρα τοὺς AB, ΓΔ μετρεῖ. ὁ ΓZ ἄρα τῶν AB, ΓΔ κοινὸν μέτρον ἐστίν. λέγω δή, ὅτι καὶ μέγιστον. εἰ γὰρ μή ἐστιν ὁ ΓZ τῶν AB, ΓΔ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς AB, ΓΔ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ ΓZ. μετρείτω, καὶ ἔστω ὁ H. καὶ ἐπεὶ ὁ H τὸν ΓΔ μετρεῖ, ὁ δὲ ΓΔ τὸν BE με-

---

2. *ΓΔ, AB*] *AB, ΓΔ* P. *ἐστι* BFV; comp. p. 5. *δέ*] *δ'* F. 6. *αἰεί* Theon (BFVp). *ἐλάττονος* FV. 7. *ληφθήσεται* Vp, corr. m. 1. 8. *ληφθήσεται* p; P, corr. m. rec. 10. *ληφθήσεται* p. *ἄρα*] supra m. 1 F. *ἄρα τις* V. *ὅς*] supra m. 1 F; mg. m. rec. B. 11. *BE*] PF; *AB* BVp, P m. rec., *γρ. τὸν AB* mg. m. 1 F. 12. *ΔZ*] PF; *ΓΔ* p; *ΔΓ* B, V in ras. m. 2, P m. rec; *τὸν ΔΓ* F mg. m. 1. 13.

iam si $\Gamma\Delta$ metitur AB, et etiam se ipsum metitur, $\Gamma\Delta$ communis erit mensura numerorum $\Gamma\Delta$, AB. et adparet, eum etiam maximam esse. neque enim ullus numerus numero $\Gamma\Delta$ maior metietur $\Gamma\Delta$.

at si $\Gamma\Delta$ non metitur AB, minore numerorum AB, $\Gamma\Delta$ semper uicissim a maiore subtracto relinquetur numerus aliquis, qui proxime antecedentem metiętur. unitas enim non relinquetur; sin minus, AB, $\Gamma\Delta$ inter se primi erunt [prop. I]; quod contra hypothesim est. ergo numerus aliquis relinquetur, qui proxime antecedentem metietur. et $\Gamma\Delta$ metiens BE relinquat se ipso minorem EA, EA autem ΔZ metiens relinquat se ipso minorem $Z\Gamma$, ΓZ autem AE metiatur. iam quoniam ΓZ metitur AE, AE autem ΔZ metitur, etiam ΓZ metietur ΔZ. uerum etiam se ipsum metitur. quare etiam totum $\Gamma\Delta$ metietur. sed $\Gamma\Delta$ metitur BE; quare etiam ΓZ metitur BE. uerum etiam EA metitur. quare etiam totum BA metietur. uerum etiam $\Gamma\Delta$ metitur. ergo ΓZ metitur AB, $\Gamma\Delta$. itaque ΓZ communis est mensura numerorum AB, $\Gamma\Delta$. dico iam, eum etiam maximam esse. nam si ΓZ numerorum AB, $\Gamma\Delta$ communis mensura maxima non est, aliquis numerus maior numero ΓZ numeros AB, $\Gamma\Delta$ metietur. metiatur, et sit H. et quoniam H metitur $\Gamma\Delta$, $\Gamma\Delta$ autem BE



Z Γ] ΓZ BVp. δέ] om. B. 14. Ante ἐπεί in V est: ὁ δὲ EA (in ras. m. 2) ἑαυτοῦ ἐλάσσονα οὐ μετρεῖ τὸ (τὸν m. 2) ΓZ. 21. ἔστί BV, comp. p.

τρεῖ, καὶ ὁ H ἄρα τὸν BE μετρεῖ· μετρεῖ δὲ καὶ ὅλον τὸν BA· καὶ λοιπὸν ἄρα τὸν AE μετρήσει. ὁ δὲ AE τὸν ΔZ μετρεῖ· καὶ ὁ H ἄρα τὸν ΔZ μετρήσει· μετρεῖ δὲ καὶ ὅλον τὸν $\Delta\Gamma$· καὶ λοιπὸν ἄρα τὸν ΓZ μετρήσει ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα τοὺς AB, $\Gamma\Delta$ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ ΓZ· ὁ ΓZ ἄρα τῶν AB, $\Gamma\Delta$ μέγιστόν ἐστι κοινὸν μέτρον [ὅπερ ἔδει δεῖξαι].

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς μετρῇ, καὶ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον μετρήσει· ὅπερ ἔδει δεῖξαι.

γ'.

Τριῶν ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον εὑρεῖν.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ μὴ πρῶτοι πρὸς ἀλλήλους οἱ A, B, Γ· δεῖ δὴ τῶν A, B, Γ τὸ μέγιστον κοινὸν μέτρον εὑρεῖν.

Εἰλήφθω γὰρ δύο τῶν A, B τὸ μέγιστον κοινὸν μέτρον ὁ Δ· ὁ δὴ Δ τὸν Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον· μετρεῖ δὲ καὶ τοὺς A, B· ὁ Δ ἄρα τοὺς A, B, Γ μετρεῖ· ὁ Δ ἄρα τῶν A, B, Γ κοινὸν μέτρον ἐστίν. λέγω δή, ὅτι καὶ μέγιστον.

---

3. μετρεῖ· καί] corr. ex μετρήσει m. 1 p. τὸν ΔZ ἄρα F. μετρήσει] μετρεῖ P. 4. τόν] corr. ex τό m. 1 p. ΔΓ] ΓΔ p. 5. ἐστίν] om. B. 8. ἐστιν PV. 10. τοῦτο P, sed corr. 12. ὅπερ ἔδει δεῖξαι] P; om. BFVp. 19. μέτρον] bis p. 20. δύο γάρ p. 22. μετρεῖ] (alt.) om. F. 24. ἐστίν] comp. Fp; ἐστί PBV. δή] om. P.


metitur, etiam H metitur BE. uerum etiam totum BA metitur. quare etiam reliquum AE metietur. sed AE metitur ΔZ. quare etiam H metietur ΔZ. uerum etiam totum $\Delta\Gamma$ metitur. quare etiam reliquum ΓZ metietur maior minorem; quod fieri non potest. ergo numeros AB, $\Gamma\Delta$ non metietur numerus maior numero ΓZ. ergo ΓZ maxima est communis mensura numerorum AB, $\Gamma\Delta$.

Corollarium.

Hinc manifestum est, si numerus duos numeros metiatur, eum etiam maximam eorum mensuram communem mensurum esse.[1]) — quod erat demonstrandum.

III.

Datis tribus numeris non primis inter se maximam mensuram communem inuenire.



Sint tres numeri dati non primi inter se A, B, Γ. oportet igitur numerorum A, B, Γ maximam mensuram communem inuenire.

sumatur enim duorum numerorum A, B maxima mensura communis Δ [prop. II]. Δ igitur aut metitur Γ aut non metitur. prius metiatur. metitur autem etiam A, B. Δ igitur numeros A, B, Γ meti-

1) Nam H et AB, $\Gamma\Delta$ et communem eorum mensuram maximam ΓZ metitur (p. 194, 5).

εἰ γὰρ μή ἐστιν ὁ Δ τῶν A, B, Γ μέγιστον κοινὸν μέτρον, μετρήσει τις τοὺς A, B, Γ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ Δ. μετρείτω, καὶ ἔστω ὁ E. ἐπεὶ οὖν ὁ E τοὺς A, B, Γ μετρεῖ, καὶ τοὺς A, B ἄρα μετρήσει· καὶ τὸ τῶν A, B ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν A, B μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ E ἄρα τὸν Δ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοὺς A, B, Γ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ Δ· ὁ Δ ἄρα τῶν A, B, Γ μέγιστόν ἐστι κοινὸν μέτρον.

Μὴ μετρείτω δὴ ὁ Δ τὸν Γ· λέγω πρῶτον, ὅτι οἱ Γ, Δ οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους. ἐπεὶ γὰρ οἱ A, B, Γ οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους, μετρήσει τις αὐτοὺς ἀριθμός. ὁ δὴ τοὺς A, B, Γ μετρῶν καὶ τοὺς A, B μετρήσει, καὶ τὸ τῶν A, B μέγιστον κοινὸν μέτρον τὸν Δ μετρήσει· μετρεῖ δὲ καὶ τὸν Γ· τοὺς Δ, Γ ἄρα ἀριθμοὺς ἀριθμός τις μετρήσει· οἱ Δ, Γ ἄρα οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους. εἰλήφθω οὖν αὐτῶν τὸ μέγιστον κοινὸν μέτρον ὁ E. καὶ ἐπεὶ ὁ E τὸν Δ μετρεῖ, ὁ δὲ Δ τοὺς A, B μετρεῖ, καὶ ὁ E ἄρα τοὺς A, B μετρεῖ· μετρεῖ δὲ καὶ τὸν Γ· ὁ E ἄρα τοὺς A, B, Γ μετρεῖ· ὁ E ἄρα τῶν A, B, Γ κοινόν ἐστι μέτρον. λέγω δή, ὅτι καὶ μέγιστον. εἰ γὰρ μή ἐστιν ὁ E τῶν A, B, Γ τὸ μέγιστον κοινὸν

---

1. *γάρ*] corr. ex *γα* m. 2 P. *κοινὸν μέγιστον* V. 3. *ὤν*] om. V. 4. *οὖν*] om. BFp. 7. *E*] corr. ex *Γ* m. 2 F. 8. *ἐστίν*] om. Fp. 9. *ἀριθμός*] om. F. *τις*] om. P. *ὤν*] om. P. 12. *μή*] supra F. 13. *Γ, Δ*] *Δ, Γ* BVp. 15. *ἀριθμὸς αὐτούς* F. *τούς*] corr. ex *τοῦ* m. rec. F. 17. *τόν*] *τό* FV. *μετρήσει τὸν Δ* p. 18. *ἀριθμούς*] m. 2 V; om. BF. *ἀριθμός*] F, *ἀριθμούς φ*. 21. *μετρεῖ*] (alt.)

tur. quare Δ communis mensura est numerorum A, B, Γ. dico, eundem maximam esse. nam si Δ numerorum A, B, Γ maxima mensura communis non est, numerus aliquis numero Δ maior numeros A, B, Γ metietur. metiatur et sit E. iam quoniam E numeros A, B, Γ metitur, etiam A, B metietur. quare etiam maximam mensuram communem numerorum A, B metietur [prop. II coroll.]. uerum maxima mensura communis numerorum A, B est Δ. itaque E metitur Δ maior minorem; quod fieri non potest. itaque numeros A, B, Γ non metietur numerus maior numero Δ. ergo Δ maxima est mensura communis numerorum A, B, Γ.

iam ne metiatur Δ numerum Γ. dico primum, numeros Γ, Δ non esse primos inter se. nam quoniam A, B, Γ primi non sunt inter se, numerus aliquis eos metietur. qui autem A, B, Γ metitur, etiam A, B metietur, et Δ maximam mensuram communem numerorum A, B metietur [prop. II coroll.]. uerum etiam Γ metitur. quare numeros Δ, Γ numerus aliquis metietur. itaque Δ, Γ primi non sunt inter se. sumatur igitur eorum maxima mensura communis E [prop. II]. et quoniam E metitur Δ, Δ autem A, B metitur, etiam E metitur A, B. uerum etiam Γ metitur. E igitur A, B, Γ metitur. quare E numerorum A, B, Γ communis est mensura. iam dico, eundem maximam esse. nam si E numerorum A, B, Γ

---

bis F. *καὶ ὁ E ἄρα τοὺς A, B μετρεῖ*] mg. m. 2 B. 23. *Γ*] insert. m. rec. B. *κοινόν*] bis P, sed. corr. 24. *δή*] om. P. 25. *τό*] om. p.

μέτρον, μετρήσει τις τοὺς A, B, Γ ἀριθμοὺς ἀριθμὸς μείζων ὢν τοῦ E. μετρείτω, καὶ ἔστω ὁ Z. καὶ ἐπεὶ ὁ Z τοὺς A, B, Γ μετρεῖ, καὶ τοὺς A, B μετρεῖ· καὶ τὸ τῶν A, B ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν A, B μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ Δ· ὁ Z ἄρα τὸν Δ μετρεῖ· μετρεῖ δὲ καὶ τὸν Γ· ὁ Z ἄρα τοὺς Δ, Γ μετρεῖ· καὶ τὸ τῶν Δ, Γ ἄρα μέγιστον κοινὸν μέτρον μετρήσει. τὸ δὲ τῶν Δ, Γ μέγιστον κοινὸν μέτρον ἐστὶν ὁ E· ὁ Z ἄρα τὸν E μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοὺς A, B, Γ ἀριθμοὺς ἀριθμός τις μετρήσει μείζων ὢν τοῦ E· ὁ E ἄρα τῶν A, B, Γ μέγιστόν ἐστι κοινὸν μέτρον· ὅπερ ἔδει δεῖξαι.

δ'.

Ἅπας ἀριθμὸς παντὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μείζονος ἤτοι μέρος ἐστὶν ἢ μέρη.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ A, BΓ, καὶ ἔστω ἐλάσσων ὁ BΓ· λέγω, ὅτι ὁ BΓ τοῦ A ἤτοι μέρος ἐστὶν ἢ μέρη.

Οἱ A, BΓ γὰρ ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ. ἔστωσαν πρότερον οἱ A, BΓ πρῶτοι πρὸς

---

1. ἀριθμούς] om. P. 4. ἄρα] om. V. μέτρον] om. P. 7. τόν] τό F, sed corr. τό] supra m. 1 P. Δ, Γ] e corr. m. 2 V. 11. ἀριθμούς] comp. F; om. Vp. 13. ἐστιν V. Post μέτρον add. BV: τριῶν ἄρα ἀριθμῶν δοθέντων ηὕρηται τὸ μέγιστον κοινὸν μέτρον. δεῖξαι] P; ποιῆσαι Theon (BFVp). Seq. in p, B in mg. imo m. 1, V mg. m. 2: πόρισμα. ἐκ δή (eras. B) τούτου (τούτων V) φανερόν, ὅτι ἐὰν ἀριθμὸς τρεῖς ἀριθμοὺς μετρῇ, καὶ τὸ μέγιστον αὐτῶν κοινὸν μέτρον μετρήσει. ὁμοίως δὲ καὶ πλειόνων ἀριθμῶν δοθέντων μὴ πρώτων πρὸς ἀλλήλους τὸ μέγιστον αὐτῶν (om. Vp) κοινὸν μέτρον εὑρίσκεται καὶ τὸ πόρισμα προχωρήσει. Praeterea V in textu

maxima non est mensura communis, numerus aliquis maior numero E numeros A, B, Γ metietur. metiatur et sit Z. et quoniam Z numeros A, B, Γ metitur, etiam A, B metitur; quare etiam maximam numerorum A, B mensuram communem metietur [prop. II coroll.]. uerum numerorum A, B maxima mensura communis est Δ. Z igitur Δ metitur. uerum etiam Γ metitur. Z igitur Δ, Γ metitur. quare etiam numerorum Δ, Γ maximam mensuram communem metitur. uerum numerorum Δ, Γ maxima mensura communis est E. Z igitur E metitur maior minorem; quod fieri non potest. itaque numeros A, B, Γ non metietur numerus maior numero E. ergo E maxima est communis mensura numerorum A, B Γ; quod erat demonstrandum.[1])

IV.

Minor numerus maioris semper aut pars est aut partes.

Sint duo numeri A, $B\Gamma$, et minor sit $B\Gamma$. dico $B\Gamma$ numeri A aut partem aut partes esse.

nam A, $B\Gamma$ aut primi sunt inter se aut non primi. prius A, $B\Gamma$ primi sint inter se. diuiso igitur $B\Gamma$

1) Cfr. p. 194, 12. proprie nec *δεῖξαι* nec *ποιῆσαι*, sed *εὑρεῖν* dicendum erat (Studien p. 62); nam propp. II—III *πορίσματα* sunt (ib. p. 61). inde consecuta est uariatio scripturae.

habet: *τὸν αὐτὸν δὲ τρόπον καὶ πλειόνων ἀριθμῶν δοθέντων τὸ μέγιστον κοινὸν μέτρον εὑρήσομεν.* 15. *Ἅπας*] *Ἁ* littera initialis add. m. 2, ut semper fere, V; eras. B; habent P p φ. 17. *ἐλάττων* F. 18. *λέγω ὅτι*] in ras. φ. *ὁ ΒΓ τοῦ Α*] eras. F. 21. *πρότεροι* V. *οἱ Α, ΒΓ*] mg. V.

ἀλλήλους. διαιρεθέντος δὴ τοῦ $B\Gamma$ εἰς τὰς ἐν αὐτῷ μονάδας ἔσται ἑκάστη μονὰς τῶν ἐν τῷ $B\Gamma$ μέρος τι τοῦ A· ὥστε μέρη ἐστὶν ὁ $B\Gamma$ τοῦ A.

Μὴ ἔστωσαν δὴ οἱ A, $B\Gamma$ πρῶτοι πρὸς ἀλλήλους· ὁ δὴ $B\Gamma$ τὸν A ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. εἰ μὲν οὖν ὁ $B\Gamma$ τὸν A μετρεῖ, μέρος ἐστὶν ὁ $B\Gamma$ τοῦ A. εἰ δὲ οὔ, εἰλήφθω τῶν A, $B\Gamma$ μέγιστον κοινὸν μέτρον ὁ Δ, καὶ διῃρήσθω ὁ $B\Gamma$ εἰς τοὺς τῷ Δ ἴσους τοὺς BE, EZ, $Z\Gamma$. καὶ ἐπεὶ ὁ Δ τὸν A μετρεῖ, μέρος ἐστὶν ὁ Δ τοῦ A· ἴσος δὲ ὁ Δ ἑκάστῳ τῶν BE, EZ, $Z\Gamma$· καὶ ἕκαστος ἄρα τῶν BE, EZ, $Z\Gamma$ τοῦ A μέρος ἐστίν· ὥστε μέρη ἐστὶν ὁ $B\Gamma$ τοῦ A.

Ἅπας ἄρα ἀριθμὸς παντὸς ἀριθμοῦ ὁ ἐλάσσων τοῦ μείζονος ἤτοι μέρος ἐστὶν ἢ μέρη· ὅπερ ἔδει δεῖξαι.

ε'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος ᾖ, καὶ συναμφότερος συναμφοτέρου τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός.


Ἀριθμὸς γὰρ ὁ A [ἀριθμοῦ] τοῦ $B\Gamma$ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ EZ τὸ αὐτὸ μέρος, ὅπερ ὁ A τοῦ $B\Gamma$· λέγω, ὅτι καὶ συναμφότερος ὁ A, Δ συναμφοτέρου τοῦ $B\Gamma$, EZ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὁ A τοῦ $B\Gamma$.

Ἐπεὶ γάρ, ὃ μέρος ἐστὶν ὁ A τοῦ $B\Gamma$, τὸ αὐτὸ

---

1. δή] γάρ, supra scr. δή F. ἑαυτῷ p et F (corr. φ). 2. τι] F; τό φ. 4. οἱ A, $B\Gamma$] om. V. ἀλλήλους οἱ A, $B\Gamma$ V. 7. τὸ μέγιστον BFp. 8. ὁ $B\Gamma$] F; $AB\Gamma$ φ. τῷ] corr. ex τό p. 9. καί] om. BFp. 10. δέ] δή P. ἑκατέρῳ V φ. 11. καί] F; ὁ φ. ἄρα τοῦ V. 13. ἐλάττων φ. 18. ᾖ] P; om. BFVp. 21. ἀριθμοῦ] om. P. μέρος] F, μόνος φ.

in suas unitates unaquaeque unitas in $B\Gamma$ comprehensa pars aliqua erit numeri A; quare $B\Gamma$ numeri A partes erunt.




iam ne sint A, $B\Gamma$ inter se primi. itaque $B\Gamma$ aut metitur A aut non metitur. iam si $B\Gamma$ metitur A, pars est $B\Gamma$ numeri A. sin minus, sumatur numerorum A, $B\Gamma$ maxima mensura communis Δ [prop. II], et diuidatur $B\Gamma$ in partes numero Δ aequales, BE, EZ, $Z\Gamma$. et quoniam Δ metitur A, pars est Δ numeri A. sed $\Delta = BE = EZ = Z\Gamma$. quare etiam unusquisque numerorum BE, EZ, $Z\Gamma$ pars est numeri A. quare $B\Gamma$ partes sunt numeri A.

Ergo minor numerus maioris semper aut pars est aut partes; quod erat demonstrandum.

V.

Si numerus numeri pars est, et alius numerus alius numeri eadem pars, etiam uterque utriusque eadem pars erit, quae unus unius.



nam numerus A numeri $B\Gamma$ pars sit, et alius numerus Δ alius numeri EZ eadem pars sit, quae A numeri $B\Gamma$. dico, etiam $A + \Delta$ numeri $B\Gamma + EZ$ eandem partem esse, quae sit A numeri $B\Gamma$.

nam quoniam quae pars est A numeri $B\Gamma$, eadem

---

22. $\mu\acute{\epsilon}\rho o\varsigma$] $\mu\acute{\epsilon}\rho o\varsigma$ $\grave{\epsilon}\sigma\tau\acute{\iota}\nu$ (-$\iota\nu$ m. 2 e corr.) V. 23. $\lambda\acute{\epsilon}\gamma\omega$ — 25: $B\Gamma$] mg. m. 2 V. 24. EZ] F, BZ φ. 26. $\tilde{o}$] supra m. 1 V. $\tau\grave{o}$ $\alpha\grave{\upsilon}\tau\acute{o}$] $\tau o\tilde{\upsilon}\tau o$ P.

μέρος ἐστὶ καὶ ὁ Δ τοῦ EZ, ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ A, τοσοῦτοί εἰσι καὶ ἐν τῷ EZ ἀριθμοὶ ἴσοι τῷ Δ. διηρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ A ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ EZ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘZ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘZ. καὶ ἐπεὶ ἴσος ἐστὶν ὁ μὲν ΒΗ τῷ A, ὁ δὲ ΕΘ τῷ Δ, καὶ οἱ ΒΗ, ΕΘ ἄρα τοῖς A, Δ ἴσοι. διὰ τὰ αὐτὰ δὴ καὶ οἱ ΗΓ, ΘZ τοῖς A, Δ. ὅσοι ἄρα [εἰσὶν] ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ A, τοσοῦτοί εἰσι καὶ ἐν τοῖς ΒΓ, EZ ἴσοι τοῖς A, Δ. ὁσαπλασίων ἄρα ἐστὶν ὁ ΒΓ τοῦ A, τοσαυταπλασίων ἐστὶ καὶ συναμφότερος ὁ ΒΓ, EZ συναμφοτέρου τοῦ A, Δ. ὁ ἄρα μέρος ἐστὶν ὁ A τοῦ ΒΓ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ A, Δ συναμφοτέρου τοῦ ΒΓ, EZ· ὅπερ ἔδει δεῖξαι.

ς'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ, καὶ συναμφότερος συναμφοτέρου τὰ αὐτὰ μέρη ἔσται, ὅπερ ὁ εἷς τοῦ ἑνός.

Ἀριθμὸς γὰρ ὁ AB ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔE ἑτέρου τοῦ Z τὰ αὐτὰ μέρη, ἅπερ ὁ AB τοῦ Γ· λέγω, ὅτι καὶ συναμφότερος ὁ AB, ΔE

---

1. ἐστίν F. καί] in ras. m. 2 p, insert. m. 2 F. Δ] corr. ex A m. 2 p. ἄρα] ἄρα ἀριθμοί V. 2. ἀριθμοί] om. V. A] Δ φ. εἰσιν PB. 7. Post Δ add. Theon: ὁ BH ἄρα τῷ A ἴσος ἐστί (ἐστίν B) (BFVp). 8. ἄρα] om. Theon (BFVp). ἴσοι] om. Theon (BFVp). τὰ αὐτά] ταῦτα V. Post δή add. Theon: καὶ ὁ ΗΓ τῷ A ἴσος (F, ἴσον φ) ἐστίν (ἐστί V, comp. p) (BFVp). In V praeterea add. καὶ ὁ ΘZ τῷ Δ. οἱ ΗΓ, ΘZ τοῖς A, Δ] ὁ ΗΓ τῷ A ἴσος ἐστίν, ὁ δὲ ΘZ τῷ Δ P; ὁ ΗΓ τοῖς AΔ φ (non F). In emendatione praeiuit

pars est etiam Δ numeri EZ, quot sunt in $B\Gamma$ numeri numero A aequales, totidem etiam in EZ numeri sunt numero Δ aequales. diuidatur $B\Gamma$ in numeros numero A aequales BH, $H\Gamma$, EZ autem in $E\Theta$, ΘZ numero Δ aequales. erit igitur multitudo numerorum BH, $H\Gamma$ multitudini numerorum $E\Theta$, ΘZ aequalis. et quoniam est $BH = A$, $E\Theta = \Delta$, erunt $BH + E\Theta = A + \Delta$. eadem de causa etiam

$$H\Gamma + \Theta Z = A + \Delta.$$

itaque quot sunt in $B\Gamma$ numeri numero A aequales, totidem sunt etiam in $B\Gamma + EZ$ numeris $A + \Delta$ aequales. quare quoties multiplex est $B\Gamma$ numeri A, toties multiplex est etiam $B\Gamma + EZ$ numerorum $A + \Delta$. itaque quae pars est A numeri $B\Gamma$, eadem pars etiam $A + \Delta$ sunt numerorum $B\Gamma + EZ$; quod erat demonstrandum.

VI.

Si numerus numeri partes sunt, et alius numerus alius numeri eaedem partes, etiam uterque utriusque eaedem partes erunt, quae unus unius.

Nam numerus AB partes sint numeri Γ, et alius ΔE alius Z eaedem partes, quae AB numeri Γ.

Augustus. 9. *τοῖς*] *ἄρα τοῖς* V. Δ] Δ *ἴσοι εἰσίν* V. *ὅσοι*] *ὅσ-* in ras. m. 2 F; *ἴση* φ (non F). *εἰσίν*] om. P. 10. *εἰσιν* PB. 12. *ἐστίν* P. 13. *ὅ*] om. φ (non F). *μέρος*] F, *μέν* φ. 15. *δεῖξαι*] *ποιῆσαι* V. 17. *μέρος* p. 21. *ἀριθμοῦ*] *ἀριθμόν* φ (non F). 22. ΔE] E supra m. 1 V. 23. *ὅτι συναμφότεροι οἱ* p.

συναμφοτέρου τοῦ Γ, Ζ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὁ ΑΒ τοῦ Γ.

Ἐπεὶ γάρ, ἃ μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη καὶ ὁ ΔΕ τοῦ Ζ, ὅσα ἄρα ἐστὶν ἐν τῷ ΑΒ μέρη τοῦ Γ, τοσαῦτά ἐστι καὶ ἐν τῷ ΔΕ μέρη τοῦ Ζ. διῃρήσθω ὁ μὲν ΑΒ εἰς τὰ τοῦ Γ μέρη τὰ ΑΗ, ΗΒ, ὁ δὲ ΔΕ εἰς τὰ τοῦ Ζ μέρη τὰ ΔΘ, ΘΕ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΑΗ, ΗΒ τῷ πλήθει τῶν ΔΘ, ΘΕ. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΔΘ τοῦ Ζ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΗ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΑΗ, ΔΘ συναμφοτέρου τοῦ Γ, Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὃ μέρος ἐστὶν ὁ ΗΒ τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ ΗΒ, ΘΕ συναμφοτέρου τοῦ Γ, Ζ. ἃ ἄρα μέρη ἐστὶν ὁ ΑΒ τοῦ Γ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ συναμφότερος ὁ ΑΒ, ΔΕ συναμφοτέρου τοῦ Γ, Ζ· ὅπερ ἔδει δεῖξαι.

ζ'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, ὅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ τὸ αὐτὸ μέρος ἔσται, ὅπερ ὁ ὅλος τοῦ ὅλου.


Ἀριθμὸς γὰρ ὁ ΑΒ ἀριθμοῦ τοῦ ΓΔ μέρος ἔστω, ὅπερ ἀφαιρεθεὶς ὁ ΑΕ ἀφαιρεθέντος τοῦ ΓΖ· λέγω, ὅτι καὶ λοιπὸς ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ.

---

4. ΔΕ] Ε e corr. m. 2 F. 5. ἐστι] om. B. 6. ΑΗ] Α corr. ex Δ F. 7. ΔΕ] ΕΔ p. 10. ἐστίν BF. 11. ἐστίν] ἐστὶν καί F, sed καί del. καί] καὶ ὁ p. 13. δή] del. m. 2 P. ἐστί V. τὸ αὐτὸ μέρος ἐστί] καὶ ὃ ΕΘ τοῦ Ζ· ὃ ἄρα μέρος ἐστὶ τὸ ΗΒ τοῦ Γ P. 14. καί] καὶ ὁ p. 15. ᾶ] supra m. 1 V. 16. ἐστίν PB. 18. ζ'] om. V, in

dico, etiam $AB + \Delta E$ numerorum $\Gamma + Z$ easdem partes esse, quae sit AB numeri Γ.

nam quoniam quae partes est AB numeri Γ, eaedem est ΔE numeri Z, quot sunt in AB partes numeri Γ, totidem etiam in ΔE sunt partes numeri Z. diuidatur AB in AH, HB partes numeri Γ, ΔE autem in $\Delta\Theta$, ΘE partes numeri Z. itaque multitudo numerorum AH, HB multitudini numerorum $\Delta\Theta$, ΘE aequalis erit. et quoniam quae pars est AH numeri Γ, eadem est etiam $\Delta\Theta$ numeri Z, $AH + \Delta\Theta$ eadem pars erit numerorum $\Gamma + Z$, quae AH numeri Γ [prop. V]. eadem de causa etiam quae pars est HB numeri Γ, eadem pars est $HB + \Theta E$ numerorum $\Gamma + Z$. ergo quae partes est AB numeri Γ, eaedem partes sunt $AB + \Delta E$ numerorum $\Gamma + Z$; quod erat demonstrandum.



VII.

Si numerus numeri eadem pars est, quae ablatus numerus ablati, etiam reliquus reliqui eadem pars erit, quae totus totius.

Nam numerus AB numeri $\Gamma\Delta$ eadem sit pars, quae ablatus numerus AE ablati ΓZ. dico, etiam reliquum EB reliqui $Z\Delta$ eandem esse partem, quae totus AB sit totius $\Gamma\Delta$.

---

quo haec prop. a. m. 1 solo signo : ~ a priore dirempta erat; corr. m. 2. 20. ὁ] supra m. 1 P. 21. ὁ] supra m. 1 P, om. F. ὅλον] in ras. F. 23. AE] A eras. V. 24. καί] καὶ ὁ BFVp. 25. ὅλος] ὁ ὅλος B.

Ὁ γὰρ μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος ἔστω καὶ ὁ *EB* τοῦ *ΓH*. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ *EB* τοῦ *ΓH*, ὃ ἄρα μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ *AB* τοῦ *HZ*. ὃ δὲ μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος ὑπόκειται καὶ ὁ *AB* τοῦ *ΓΔ*· ὃ ἄρα μέρος ἐστὶ καὶ ὁ *AB* τοῦ *HZ*, τὸ αὐτὸ μέρος ἐστὶ καὶ τοῦ *ΓΔ*· ἴσος ἄρα ἐστὶν ὁ *HZ* τῷ *ΓΔ*. κοινὸς ἀφῃρήσθω ὁ *ΓZ*· λοιπὸς ἄρα ὁ *HΓ* λοιπῷ τῷ *ZΔ* ἐστιν ἴσος. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος [ἐστὶ] καὶ ὁ *EB* τοῦ *HΓ*, ἴσος δὲ ὁ *HΓ* τῷ *ZΔ*, ὃ ἄρα μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ *EB* τοῦ *ZΔ*. ἀλλὰ ὃ μέρος ἐστὶν ὁ *AE* τοῦ *ΓZ*, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ *AB* τοῦ *ΓΔ*· καὶ λοιπὸς ἄρα ὁ *EB* λοιποῦ τοῦ *ZΔ* τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ *AB* ὅλου τοῦ *ΓΔ*· ὅπερ ἔδει δεῖξαι.

η'.


Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, ἅπερ ἀφαιρεθεὶς ἀφαιρεθέντος, καὶ ὁ λοιπὸς τοῦ λοιποῦ τὰ αὐτὰ μέρη ἔσται, ἅπερ ὁ ὅλος τοῦ ὅλου.

Ἀριθμὸς γὰρ ὁ *AB* ἀριθμοῦ τοῦ *ΓΔ* μέρη ἔστω, ἅπερ ἀφαιρεθεὶς ὁ *AE* ἀφαιρεθέντος τοῦ *ΓZ*· λέγω,

---

7. ἐστίν PB, comp. p. *HZ*] corr. ex *HΓ* m. 1 F. 8. καί] καὶ ὁ *AB* Theon (BFVp); ὁ *AB* add. in mg. m. rec. P. Post *ΓΔ* add. Theon: ὁ *AB* ἄρα ἑκατέρου τῶν *HZ*, *ΓΔ* τὸ αὐτὸ μέρος ἐστίν (BFVp); idem P, mg. m. rec. *HZ*] *ZH* Vp. 9. κοινῶς P, corr. m. 1 et insuper m. rec. 10. ἴσος ἐστί V. 11. ἐστί] om. P. 12. *HΓ*] *Γ* in ras. F. δέ] δὲ καί Vp. ὁ *HΓ* τῷ *ΔZ* F in ras. ἄρα] om. F. 13. ἐστίν P. *EB* τοῦ *ZΔ*] *AB* τοῦ *ΓΔ* F, corr. m. 2. 14. ἀλλ' P, corr. m. 1.

nam quae pars est AE numeri ΓZ, eadem pars sit EB numeri ΓH. et quoniam quae pars est AE numeri ΓZ, eadem pars est EB numeri ΓH, etiam AB numeri HZ eadem pars est, quae AE numeri ΓZ [prop. V]. supposuimus autem, AB numeri $\Gamma\Delta$ eandem partem esse, quae sit AE numeri ΓZ. itaque quae pars est AB numeri HZ, eadem idem pars est numeri $\Gamma\Delta$. itaque $HZ = \Gamma\Delta$. subtrahatur, qui communis est, ΓZ. itaque $H\Gamma = Z\Delta$. et quoniam quae pars est AE numeri ΓZ, eadem est EB numeri $H\Gamma$, et $H\Gamma = Z\Delta$, quae pars est AE numeri ΓZ, eadem est EB numeri $Z\Delta$. uerum quae pars est AE numeri ΓZ, eadem est AB numeri $\Gamma\Delta$. ergo etiam reliquus EB reliqui $Z\Delta$ eadem pars est, quae totus AB totius $\Gamma\Delta$; quod erat demonstrandum.



VIII.

Si numerus numeri partes sunt eaedem, quae ablatus numerus ablati, etiam reliquus reliqui eaedem partes erunt, quae totus totius.

Nam numerus AB numeri $\Gamma\Delta$ eaedem partes sint, quae ablatus AE ablati ΓZ. dico, etiam reliquum

---

$\dot{\alpha}\lambda\lambda\dot{\alpha}$ $\ddot{o}$] in ras. m. 2 F; $\ddot{o}$ $\ddot{\alpha}\rho\alpha$ post ras. plus quam 2 linn. V. AE] EB V; e corr. F. ΓZ] in ras. F; $Z\Delta$ V. 15. Post $\Gamma\Delta$ add. Bp: $\ddot{o}$ $\ddot{\alpha}\rho\alpha$ $\mu\acute{\epsilon}\rho o\varsigma$ $\grave{\epsilon}\sigma\tau\grave{\iota}\nu$ $\acute{o}$ EB $\tau o\tilde{\upsilon}$ $Z\Delta$, $\tau\grave{o}$ $\alpha\grave{\upsilon}\tau\grave{o}$ $\mu\acute{\epsilon}\rho o\varsigma$ $\grave{\epsilon}\sigma\tau\grave{\iota}$ $\kappa\alpha\grave{\iota}$ $\acute{o}$ AB $\tau o\tilde{\upsilon}$ $\Gamma\Delta$; idem P mg. m. rec. $\kappa\alpha\grave{\iota}$ $\lambda o\iota\pi\grave{o}\varsigma$ $\ddot{\alpha}\rho\alpha$] $\kappa\alpha\acute{\iota}$ mutat in $\ddot{o}$ et in mg. add. $\ddot{\alpha}\rho\alpha$ $\mu\acute{\epsilon}\rho o\varsigma$ $\grave{\epsilon}\sigma\tau\acute{\iota}\nu$ F m. 2 ($\lambda o\iota\pi\grave{o}\varsigma$ $\ddot{\alpha}\rho\alpha$ in init. lin. seq. (a m. 1) intactum relinquitur). 16. $\grave{\epsilon}\sigma\tau\acute{\iota}$ V. 17. $\Gamma\Delta$] $B\Gamma$ F. 21. $\acute{o}$] om. Pp; m. 2 F. 22. $\Gamma\Delta$] Γ add. m. rec. P.

ὅτι καὶ λοιπὸς ὁ EB λοιποῦ τοῦ $Z\Delta$ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ AB ὅλου τοῦ $\Gamma\Delta$.


Κείσθω γὰρ τῷ AB ἴσος ὁ $H\Theta$. ἃ ἄρα μέρη ἐστὶν ὁ $H\Theta$ τοῦ $\Gamma\Delta$, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ AE τοῦ ΓZ. διῃρήσθω ὁ μὲν $H\Theta$ εἰς τὰ τοῦ $\Gamma\Delta$ μέρη τὰ HK, $K\Theta$, ὁ δὲ AE εἰς τὰ τοῦ ΓZ μέρη τὰ $A\Lambda$, ΛE· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν HK, $K\Theta$ τῷ πλήθει τῶν $A\Lambda$, ΛE. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ HK τοῦ $\Gamma\Delta$, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ $A\Lambda$ τοῦ ΓZ, μεῖζων δὲ ὁ $\Gamma\Delta$ τοῦ ΓZ, μεῖζων ἄρα καὶ ὁ HK τοῦ $A\Lambda$. κείσθω τῷ $A\Lambda$ ἴσος ὁ HM. ὃ ἄρα μέρος ἐστὶν ὁ HK τοῦ $\Gamma\Delta$, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ HM τοῦ ΓZ· καὶ λοιπὸς ἄρα ὁ MK λοιποῦ τοῦ $Z\Delta$ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ HK ὅλου τοῦ $\Gamma\Delta$. πάλιν ἐπεί, ὃ μέρος ἐστὶν ὁ $K\Theta$ τοῦ $\Gamma\Delta$, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ $E\Lambda$ τοῦ ΓZ, μεῖζων δὲ ὁ $\Gamma\Delta$ τοῦ ΓZ, μεῖζων ἄρα καὶ ὁ ΘK τοῦ $E\Lambda$. κείσθω τῷ $E\Lambda$ ἴσος ὁ KN. ὃ ἄρα μέρος ἐστὶν ὁ $K\Theta$ τοῦ $\Gamma\Delta$, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ KN τοῦ ΓZ· καὶ λοιπὸς ἄρα ὁ $N\Theta$ λοιποῦ τοῦ $Z\Delta$ τὸ αὐτὸ μέρος ἐστίν, ὅπερ ὅλος ὁ $K\Theta$ ὅλου τοῦ $\Gamma\Delta$. ἐδείχθη δὲ καὶ λοιπὸς ὁ MK λοιποῦ τοῦ $Z\Delta$ τὸ αὐτὸ μέρος ὤν, ὅπερ ὅλος ὁ HK ὅλου τοῦ $\Gamma\Delta$· καὶ συναμφότερος ἄρα ὁ MK, $N\Theta$ τοῦ ΔZ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ ΘH ὅλου

---

1. *καί*] *καὶ ὁ* V. $Z\Delta$] Δ add. m. 2 F. 2. *ὅλος*] *ὁ ὅλος* B. 4. *ἐστί*] *ἐστίν* F. 8. ΛE] in ras. V. 9. HK] K postea insert. V. *ἐστίν* PV. *καί*] om. P. 11. HM] MH Vp. 11. *ἐστίν* PF. 16. *ἐστίν* F. *τοῦ* ΓZ] m. 2 supra scr. F. 17. ΘK] $K\Theta$ P. 18. KN] corr. ex KH m. rec. p; mutat. in KH m. 2 V. 19. *μεμέρος* P; corr. m. 2. *ἐστίν* F. *καὶ λοιπός*] *λοιπός* V. 20. $N\Theta$] corr. ex $H\Theta$ m. rec. p. $Z\Delta$] Δ eras. V. *ὅπερ*] m. 2 V. 21. *ἐδείχθη δέ — 23*: $\Gamma\Delta$] mg. V. 21. *καί*] *καὶ ὁ* BFV. *ὁ*] om. p.

EB reliqui $Z\Delta$ easdem partes esse, quae sit totus AB totius $\Gamma\Delta$.

ponatur enim $H\Theta = AB$. itaque quae partes est $H\Theta$ numeri $\Gamma\Delta$, eaedem est etiam AE numeri ΓZ. diuidatur $H\Theta$ in HK, $K\Theta$ partes numeri $\Gamma\Delta$, AE autem in $A\Lambda$, ΛE partes numeri ΓZ. itaque multitudo numerorum HK, $K\Theta$ multitudini numerorum $A\Lambda$, ΛE aequalis est. et quoniam quae pars est HK numeri $\Gamma\Delta$, eadem est $A\Lambda$ numeri ΓZ, et $\Gamma\Delta > \Gamma Z$, erit etiam $HK > A\Lambda$. ponatur $HM = A\Lambda$. itaque quae pars est HK numeri $\Gamma\Delta$, eadem est HM numeri ΓZ. quare etiam reliquus MK reliqui $Z\Delta$ eadem pars est, quae totus HK totius $\Gamma\Delta$ [prop. VII]. rursus quoniam quae pars est $K\Theta$ numeri $\Gamma\Delta$, eadem est $E\Lambda$ numeri ΓZ, et $\Gamma\Delta > \Gamma Z$, erit etiam $\Theta K > E\Lambda$. ponatur $KN = E\Lambda$. itaque quae pars est $K\Theta$ numeri $\Gamma\Delta$, eadem est KN numeri ΓZ. quare etiam reliquus $N\Theta$ reliqui $Z\Delta$ eadem pars est, quae totus $K\Theta$ totius $\Gamma\Delta$ [prop. VII]. demonstrauimus autem, esse etiam reliquum MK reliqui $Z\Delta$ eandem partem, quae totus HK totius sit $\Gamma\Delta$. quare etiam $MK + N\Theta$ eaedem partes sunt numeri ΔZ, quae totus ΘH totius



---

22. *ὧν*] om. p, *ὅν* V. *HK*] *KH* P. 23. *ΓΔ*] *ΔΓ* FVp. *MK*] eras. V. *NΘ*] corr. ex *HΘ* m. 2 p. 24. *ΔZ*] *ΛZ* F; *ZΔ* Vp. *ΘH*] *HΘ* FVp.

τοῦ ΓΔ. ἴσος δὲ συναμφότερος μὲν ο ΜΚ, ΝΘ τῷ ΕΒ, ὁ δὲ ΘΗ τῷ ΒΑ· καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὰ αὐτὰ μέρη ἐστίν, ἅπερ ὅλος ὁ ΑΒ ὅλου τοῦ ΓΔ· ὅπερ ἔδει δεῖξαι.

ϑ′.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρος ᾖ, καὶ ἕτερος ἑτέρου τὸ αὐτὸ μέρος ᾖ, καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ἢ μέρη ὁ πρῶτος τοῦ τρίτου, τὸ αὐτὸ μέρος ἔσται ἢ τὰ αὐτὰ μέρη καὶ ὁ δεύτερος τοῦ τετάρτου.

Ἀριθμὸς γὰρ ὁ Α ἀριθμοῦ τοῦ ΒΓ μέρος ἔστω, καὶ ἕτερος ὁ Δ ἑτέρου τοῦ ΕΖ τὸ αὐτὸ μέρος, ὅπερ ὁ Α τοῦ ΒΓ· λέγω, ὅτι καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ὁ Α τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΒΓ τοῦ ΕΖ ἢ μέρη.

Ἐπεὶ γὰρ ὃ μέρος ἐστὶν ὁ Α τοῦ ΒΓ, το αὐτὸ μέρος ἐστὶ καὶ ὁ Δ τοῦ ΕΖ, ὅσοι ἄρα εἰσὶν ἐν τῷ ΒΓ ἀριθμοὶ ἴσοι τῷ Α, τοσοῦτοί εἰσι καὶ ἐν τῷ ΕΖ ἴσοι τῷ Δ. διῃρήσθω ὁ μὲν ΒΓ εἰς τοὺς τῷ Α ἴσους τοὺς ΒΗ, ΗΓ, ὁ δὲ ΕΖ εἰς τοὺς τῷ Δ ἴσους τοὺς ΕΘ, ΘΖ· ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν ΒΗ, ΗΓ τῷ πλήθει τῶν ΕΘ, ΘΖ.

Καὶ ἐπεὶ ἴσοι εἰσὶν οἱ ΒΗ, ΗΓ ἀριθμοὶ ἀλλήλοις, εἰσὶ δὲ καὶ οἱ ΕΘ, ΘΖ ἀριθμοὶ ἴσοι ἀλλήλοις,

---

1. ΓΔ] ΔΓ BF. δέ] V corr. ex δή; δή PBFp. μὲν ὁ] ὁ μέν V. ΜΚ, ΝΘ] mutat. in ΗΜ, ΚΝ m. 2 V; λοιπὸς ἄρα ὁ ΜΚ, ΝΘ τῷ ΕΒ ἴσος ἐστίν mg. m. 2 V. 2. τῷ] e corr. m. 1 F. ΕΒ] ΒΕ V m. 1, ΑΕ m. 2. ΘΗ] ΘΝ p. ΒΑ] mutat. in ΜΚ m. rec. p. 3. ΖΔ] corr. ex ΔΖ m. 2 V, ΔΖ F. 6. Post ἕτερος ras. 5 litt., dein τοῦ πρώτου μείζονος τοῦ δευτέρου punctis del. F; totam protasin ita, ut apud nos legitur, in mg. repetit m. 2. 7. ᾖ] P; om. BFVp. 9.


$\Gamma\Delta$. sed $MK + N\Theta = EB$[1]) et $\Theta H = BA$. ergo etiam reliquus EB reliqui $Z\Delta$ eaedem partes sunt, quae totus AB totius $\Gamma\Delta$; quod erat demonstrandum.

IX.

Si numerus numeri pars est et alius numerus alius numeri eadem pars, etiam permutatim, quae pars uel partes primus est tertii, eadem pars uel partes erit secundus quarti.

Nam numerus A numeri $B\Gamma$ pars sit, et alius Δ alius numeri EZ eadem pars sit, quae A numeri $B\Gamma$. dico, etiam permutatim numerum $B\Gamma$ eandem partem uel partes esse numeri EZ, quae pars uel partes sit A numeri Δ.

Nam quoniam quae pars est A numeri $B\Gamma$, eadem est Δ numeri EZ, quot sunt in $B\Gamma$ numeri numero A aequales, totidem etiam in EZ sunt numero Δ aequales. diuidatur $B\Gamma$ in numeros BH, $H\Gamma$ numero A aequales, EZ autem in $E\Theta$, ΘZ numero Δ aequales. itaque multitudo numerorum BH, $H\Gamma$ multitudini numerorum $E\Theta$, ΘZ aequalis est. et quoniam $BH = H\Gamma$ et $E\Theta = \Theta Z$, et multitudo numerorum



1) Nam $HM + MK + KN + N\Theta = A\Lambda + \Lambda E + EB$, et $HM = A\Lambda$, $KN = E\Lambda$.

ἔσται] ἐστι comp. p. 11. Post ἔστω add. V: ἢ τὰ αὐτὰ μέρη punctis del. μέρος ἔσται p. 13. Post $B\Gamma$ add. BVp, F mg. m. 2: ἐλάττων δὲ ἔστω ὁ A τοῦ Δ (Δ in ras. m. 1 B). ὅ] supra ὅ scr. ὅπερ m. 1 p. 14. ἐστίν F. 17. ἐστίν PF. καί] om. P. 18. εἰσιν PB. 21. ἔσται] ἐστί F, corr. m. 2. 24. εἰσίν P. $E\Theta$] EZ p.

καί ἐστιν ἴσον τὸ πλῆθος τῶν BH, HΓ τῷ πλήθει τῶν EΘ, ΘZ, ὃ ἄρα μέρος ἐστὶν ὁ BH τοῦ EΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ HΓ τοῦ ΘZ ἢ τὰ αὐτὰ μέρη· ὥστε καὶ ὃ μέρος ἐστὶν ὁ BH τοῦ EΘ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ συναμφότερος ὁ BΓ συναμφοτέρου τοῦ EZ ἢ τὰ αὐτὰ μέρη. ἴσος δὲ ὁ μὲν BH τῷ A, ὁ δὲ EΘ τῷ Δ· ὃ ἄρα μέρος ἐστὶν ὁ A τοῦ Δ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ BΓ τοῦ EZ ἢ τὰ αὐτὰ μέρη· ὅπερ ἔδει δεῖξαι.

ι'.

Ἐὰν ἀριθμὸς ἀριθμοῦ μέρη ᾖ, καὶ ἕτερος ἑτέρου τὰ αὐτὰ μέρη ᾖ, καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν ὁ πρῶτος τοῦ τρίτου ἢ μέρος, τὰ αὐτὰ μέρη ἔσται καὶ ὁ δεύτερος τοῦ τετάρτου ἢ τὸ αὐτὸ μέρος.

Ἀριθμὸς γὰρ ὁ AB ἀριθμοῦ τοῦ Γ μέρη ἔστω, καὶ ἕτερος ὁ ΔE ἑτέρου τοῦ Z τὰ αὐτὰ μέρη· λέγω, ὅτι καὶ ἐναλλάξ, ἃ μέρη ἐστὶν ὁ AB τοῦ ΔE ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Z ἢ τὸ αὐτὸ μέρος.

Ἐπεὶ γάρ, ἃ μέρη ἐστὶν ὁ AB τοῦ Γ, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ ΔE τοῦ Z, ὅσα ἄρα ἐστὶν ἐν τῷ AB μέρη τοῦ Γ, τοσαῦτα καὶ ἐν τῷ ΔE μέρη τοῦ Z. διῃρήσθω ὁ μὲν AB εἰς τὰ τοῦ Γ μέρη τὰ AH, HB, ὁ δὲ ΔE εἰς τὰ τοῦ Z μέρη τὰ ΔΘ, ΘE· ἔσται

---


2. EΘ] corr. ex EZ m. 1 F. 4. ὥστε] -τε in ras. V. 7. δέ] δή P. 12. ᾗ] P; om. BFVp. 13. Ante ἢ in p del. καί. μέρος] corr. ex μέρη p. 14. ἔσται μέρη V. καί] m. 2 F. 16. AB] inter A et B duae litt. eras. V. ἔστω] φ, ἔσται? F. 17. Post μέρη add. BFVp: ἔστω δέ (δέ m. 2 F; ἐλάττων δὲ ἔστω B) ὁ AB τοῦ ΔE ἐλάσσων (m.

BH, $H\Gamma$ multitudini numerorum $E\Theta$, ΘZ aequalis est, erit etiam $H\Gamma$ numeri ΘZ eadem pars uel partes, quae BH numeri $E\Theta$. quare etiam quae pars uel partes est BH numeri $E\Theta$, eadem pars uel partes est $B\Gamma$ numeri EZ [prop. V et VI]. sed $BH = A$, $E\Theta = \Delta$. ergo quae pars uel partes est A numeri Δ, eadem pars uel partes est etiam $B\Gamma$ numeri EZ; quod erat demonstrandum.

X.

Si numerus numeri partes sunt, et alius numerus alius numeri eaedem partes, etiam permutatim quae partes uel pars primus est tertii, eaedem partes uel pars est secundus quarti.

Numerus enim AB numeri Γ partes sint, et alius ΔE alius numeri Z eaedem partes. dico, etiam permutatim numerum Γ easdem partes uel partem esse numeri Z, quae AB numeri ΔE.



nam quoniam quae partes est AB numeri Γ, eaedem est etiam ΔE numeri Z, quot sunt in AB partes numeri Γ, totidem partes numeri Z in ΔE sunt. diuidatur AB in AH, HB partes numeri Γ, ΔE autem in $\Delta\Theta$, ΘE partes numeri Z. erit

---

2 F, om. B). 18. *α̃*] om. F. 19. *ἐστίν* F. *τοῦ*] om. p. 21. *α̃*] m. 2 B. 22. *ἄρα*] m. 2 F. 24. *Γ*] in ras. 4 litt. e corr. F. 25. *HB*] *H* e corr. V. *ΔE*] *E* in ras. P. *ΔΘ*] *Δ* e corr. p; post ras. 2 litt. V; *AΘ* F (sed *A* e corr.). *ΘE*] *E* eras.; fuit *EΘ* F.

δὴ ἴσον τὸ πλῆθος τῶν AH, HB τῷ πλήθει τῶν $\Delta\Theta$, ΘE. καὶ ἐπεί, ὃ μέρος ἐστὶν ὁ AH τοῦ Γ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ $\Delta\Theta$ τοῦ Z, καὶ ἐναλλάξ, ὃ μέρος ἐστὶν ὁ AH τοῦ $\Delta\Theta$ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Z ἢ τὰ αὐτὰ μέρη. διὰ τὰ αὐτὰ δὴ καί, ὃ μέρος ἐστὶν ὁ HB τοῦ ΘE ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Z ἢ τὰ αὐτὰ μέρη· ὥστε καί [ὃ μέρος ἐστὶν ὁ AH τοῦ $\Delta\Theta$ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ HB τοῦ ΘE ἢ τὰ αὐτὰ μέρη· καὶ ὃ ἄρα μέρος ἐστὶν ὁ AH τοῦ $\Delta\Theta$ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ AB τοῦ ΔE ἢ τὰ αὐτὰ μέρη· ἀλλ' ὃ μέρος ἐστὶν ὁ AH τοῦ $\Delta\Theta$ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐδείχθη καὶ ὁ Γ τοῦ Z ἢ τὰ αὐτὰ μέρη, καὶ] ἃ [ἄρα] μέρη ἐστὶν ὁ AB τοῦ ΔE ἢ μέρος, τὰ αὐτὰ μέρη ἐστὶ καὶ ὁ Γ τοῦ Z ἢ τὸ αὐτὸ μέρος· ὅπερ ἔδει δεῖξαι.

ια'.

Ἐαν ᾖ ὡς ὅλος πρὸς ὅλον, οὕτως ἀφαιρεθεὶς πρὸς ἀφαιρεθέντα, καὶ ὁ λοιπὸς πρὸς τὸν λοιπὸν ἔσται, ὡς ὅλος πρὸς ὅλον.

Ἔστω ὡς ὅλος ὁ AB πρὸς ὅλον τὸν $\Gamma\Delta$, οὕτως ἀφαιρεθεὶς ὁ AE πρὸς ἀφαιρεθέντα τὸν ΓZ· λέγω, ὅτι καὶ λοιπὸς ὁ EB πρὸς λοιπὸν τὸν $Z\Delta$ ἐστιν, ὡς ὅλος ὁ AB πρὸς ὅλον τὸν $\Gamma\Delta$.

Ἐπεί ἐστιν ὡς ὁ AB πρὸς τὸν $\Gamma\Delta$, οὕτως ὁ AE

---

1. δή] δέ p. AH, HB] in ras. φ. 2. $\Delta\Theta$, ΘE] eras. F. 3. καί] (alt.) P p, B m. rec.; om. F V. 4. $\Delta\Theta$] $\Theta\Delta$ P. 5. Γ] post ras. 1 litt. F. τὰ αὐτά] om. p. διὰ τὰ — 7: μέρη] om. V; ὥστε καὶ ὁ HB τοῦ ΘE τὸ αὐτό ἐστι μέρος ἢ μέρη, ὅπερ ὁ ἴσος τῷ HB, τουτέστιν ὁ AH, τῷ ἴσῳ τῷ $\Delta\Theta$, τουτέστιν τῷ ΘE p; idem V mg. m. 1 bis (μέρος ἐστίν, τοῦ HB τουτέστι). 6. HB] BH F. τὸ αὐτὸ μέρος] bis P,

igitur multitudo numerorum AH, HB multitudini numerorum $\Delta\Theta$, ΘE aequalis. et quoniam quae pars est AH numeri Γ, eadem est $\Delta\Theta$ numeri Z, permutatim quae pars uel partes est AH numeri $\Delta\Theta$, eadem pars uel partes est etiam Γ numeri Z [prop. IX]. eadem de causa etiam quae pars uel partes est HB numeri ΘE, eadem pars uel partes est Γ numeri Z. quare etiam quae partes uel pars est AB numeri ΔE, eaedem partes uel pars est etiam Γ numeri Z[1]); quod erat demonstrandum.

XI.

Si est ut totus ad totum, ita ablatus ad ablatum, etiam reliquus ad reliquum erit, ut totus ad totum.

Sit $AB : \Gamma\Delta = AE : \Gamma Z$. dico, esse etiam

$$EB : Z\Delta = AB : \Gamma\Delta.$$

quoniam est $AB : \Gamma\Delta = AE : \Gamma Z$, erit AE eadem

1) Nam AH eadem pars uel partes est numeri $\Delta\Theta$, quae HB numeri ΘE. ergo (prop. V et VI) AB numeri ΔE eadem pars uel partes est, quae AH numeri $\Delta\Theta$ siue quae Γ numeri Z. — sed quae hanc ipsam ratiocinationem continent uerba lin. 8—13, merito auctoritate codicis P Theoni tribuenda esse uideri possunt (Campanus in his libris arithmeticis tanto opere a Graecis discrepat, ut perraro ex eo documenta peti possint).

---

corr. m. 2. 7. *μέρος*] eras. F. *ἐστὶ καί*] om. F. 8. *ὃ μέρος — 13: μέρη καί*] mg. m. rec. P. 8. *ὃ ἄρα μέρος* F. 9. *ἄρα μέρος* Vp. *HB τοῦ — 11: καὶ ὁ*] om. Vp. *HB*] *HΘ* F. 10. *ΔΘ*] *AΘ* F. 11. *AB*] *AΘ* F. *ΔE*] *AE* F. 13. *ἄρα*] m. rec. P. 14. *ἐστίν*] *ἐστὶ καί* Vp. 15. *ἐστίν* P. 17. *ὡς*] om. p. 22. *ὁ λοιπὸς ὁ* V. Post *πρός* add. V: *ὅλον τὸν ΓΔ πρὸς τόν*, del. m. 1. *ZΔ*] *ΔZ* P. 24. Post *ἐπεί* add. *γάρ* FV m. 2, P m. rec. *ὁ*] (alt.) in ras. m. 1 B.

πρὸς τὸν ΓΖ, ὃ ἄρα μέρος ἐστὶν ὁ ΑΒ τοῦ ΓΔ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ ΑΕ τοῦ ΓΖ ἢ τὰ αὐτὰ μέρη. καὶ λοιπὸς ἄρα ὁ ΕΒ λοιποῦ τοῦ ΖΔ τὸ αὐτὸ μέρος ἐστὶν ἢ μέρη, ἅπερ ὁ ΑΒ τοῦ ΓΔ. ἔστιν ἄρα ὡς ὁ ΕΒ πρὸς τὸν ΖΔ, οὕτως ὁ ΑΒ πρὸς τὸν ΓΔ· ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον, ἔσται ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ μέρη. καὶ συναμφότερος ἄρα ὁ Α, Γ συναμφοτέρου τοῦ Β, Δ τὸ αὐτὸ μέρος ἐστὶν ἢ τὰ αὐτὰ μέρη, ἅπερ ὁ Α τοῦ Β. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως οἱ Α, Γ πρὸς τοὺς Β, Δ· ὅπερ ἔδει δεῖξαι.


ιγ'.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται.

XIII. Philop. in anal. post. fol. 18.

---

1 τόν] om. V. 2. ἐστίν F. 3. λοιπός] λοιπόν p. ΖΔ] ΔΖ P. 4. ἅπερ] -περ eras. F. ὁ] bis p. 12. ἀνάλογον] om. V p, euan. F. 13. ὁ Γ] δέ φ. ὁ Γ — 14: Β, οὕτως]




pars uel partes numeri ΓZ, quae AB numeri $\Gamma\Delta$ [def. 20]. quare etiam reliquus EB reliqui $Z\Delta$ eadem pars uel partes erit, quae AB numeri $\Gamma\Delta$ [prop. VII. VIII]. ergo

$$EB : Z\Delta = AB : \Gamma\Delta$$

[def. 20]; quod erat demonstrandum.

XII.

Si quotlibet numeri proportionales sunt, erunt, ut unus praecedentium ad unum sequentium, ita omnes praecedentes ad omnes sequentes.



Sint quotlibet numeri proportionales A, B, Γ, Δ, ita ut sit

$$A : B = \Gamma : \Delta.$$

dico, esse $A : B = A + \Gamma : B + \Delta$.

nam quoniam est $A : B = \Gamma : \Delta$, quae pars uel partes est A numeri B, eadem pars uel partes est etiam Γ numeri Δ [def. 20]. quare etiam $A + \Gamma$ eadem pars uel partes sunt numerorum $B + \Delta$, quae A numeri B [prop. V. VI]. ergo

$$A : B = A + \Gamma : B + \Delta \text{ [def. 20];}$$

quod erat demonstrandum.

XIII.

Si quattuor numeri proportionales sunt, etiam permutatim proportionales erunt.

---

om. p. 16. *A*] in ras. m. rec. P. *τόν*] *τό* φ. 17. *ὅ*] *ἤ* φ (non F). *τοῦ*] *τόν* φ. 19. *ὁ*] e corr. V, m. 2 F. 20. *ἐστίν*] comp. F, euan. Dein in F seq. 23 folia pergameni recentissimi (φ); incip. *ἐστὶν ἤ κτλ.*, desin. IX, 15 fin.: *δεῖξαι*. 21. Post *ἔστιν* in B: *ὅ*, del. m. 2. 24. *ὥσι* Vpφ.

Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ· λέγω, ὅτι καὶ ἐναλλὰξ ἀνάλογον ἔσονται, ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Γ πρὸς τὸν Δ, ὃ ἄρα μέρος ἐστὶν ὁ Α τοῦ Β ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Γ τοῦ Δ ἢ τὰ αὐτὰ μέρη. ἐναλλὰξ ἄρα, ὃ μέρος ἐστὶν ὁ Α τοῦ Γ ἢ μέρη, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ Β τοῦ Δ ἢ τὰ αὐτὰ μέρη. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Β πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

ιδ'.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι καὶ ἐν τῷ αὐτῷ λόγῳ, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.


Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ οἱ Α, Β, Γ καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι ἐν τῷ αὐτῷ λόγῳ οἱ Δ, Ε, Ζ, ὡς μὲν ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ὡς δὲ ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Ε πρὸς τὸν Ζ· λέγω, ὅτι καὶ δι' ἴσου ἐστὶν ὡς ὁ Α πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ζ.

Ἐπεὶ γάρ ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Β πρὸς τὸν Ε. πάλιν, ἐπεί ἐστιν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Ε πρὸς τὸν Ζ, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Ζ. ὡς δὲ ὁ Β πρὸς τὸν Ε, οὕτως ὁ Α πρὸς τὸν Δ· καὶ

---

9. *Β*] e corr. V. *μέρη τὰ αὐτα* p. 15. *καί*] om. Vpφ. *λόγῳ*] m. rec. B. 17. *Γ*] *Γ*, *Δ* p. 27. *ὡς*] om. p.

Sint quattuor numeri proportionales A, B, Γ, Δ, ita ut sit $A : B = \Gamma : \Delta$. dico, esse etiam permutatim $A : \Gamma = B : \Delta$.




nam quoniam est $A : B = \Gamma : \Delta$, quae pars uel partes est A numeri B, eadem pars uel partes erit etiam Γ numeri Δ [def. 20]. itaque permutatim quae pars uel partes est A numeri Γ, eadem pars uel partes est etiam B numeri Δ [prop. X]. ergo $A : \Gamma = B : \Delta$ [def. 20]; quod erat demonstrandum.

XIV.

Si quotlibet numeri dati sunt et alii iis numero aequales bini simul coniuncti et in eadem proportione, etiam ex aequo in eadem proportione erunt.

Sint quotlibet numeri A, B, Γ et alii iis numero aequales bini simul coniuncti in eadem proportione



Δ, E, Z, ita ut sit $A : B = \Delta : E$ et $B : \Gamma = E : Z$. dico, esse etiam ex aequo $A : \Gamma = \Delta : Z$.

nam quoniam est $A : B = \Delta : E$, permutatim erit $A : \Delta = B : E$ [prop. XIII]. rursus quoniam est

$$B : \Gamma = E : Z,$$

permutatim erit $B : E = \Gamma : Z$ [id.]. sed $B : E = A : \Delta$.

ὡς ἄρα ὁ *A* πρὸς τὸν *Δ*, οὕτως ὁ *Γ* πρὸς τὸν *Z*· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *Γ*, οὕτως ὁ *Δ* πρὸς τὸν *Z*· ὅπερ ἔδει δεῖξαι.

ιε′.

Ἐὰν μονὰς ἀριθμόν τινα μετρῇ, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ἄλλον τινὰ ἀριθμὸν μετρῇ, καὶ ἐναλλὰξ ἰσάκις ἡ μονὰς τὸν τρίτον ἀριθμὸν μετρήσει καὶ ὁ δεύτερος τὸν τέταρτον.

Μονὰς γὰρ ἡ *A* ἀριθμόν τινα τὸν *BΓ* μετρείτω, ἰσάκις δὲ ἕτερος ἀριθμὸς ὁ *Δ* ἄλλον τινὰ ἀριθμὸν τὸν *EZ* μετρείτω· λέγω, ὅτι καὶ ἐναλλὰξ ἰσάκις ἡ *A* μονὰς τὸν *Δ* ἀριθμὸν μετρεῖ καὶ ὁ *BΓ* τὸν *EZ*.

Ἐπεὶ γὰρ ἰσάκις ἡ *A* μονὰς τὸν *BΓ* ἀριθμὸν μετρεῖ καὶ ἡ *Δ* τὸν *EZ*, ὅσαι ἄρα εἰσὶν ἐν τῷ *BΓ* μονάδες, τοσοῦτοί εἰσι καὶ ἐν τῷ *EZ* ἀριθμοὶ ἴσοι τῷ *Δ*. διῃρήσθω ὁ μὲν *BΓ* εἰς τὰς ἐν ἑαυτῷ μονάδας τὰς *BH*, *HΘ*, *ΘΓ*, ὁ δὲ *EZ* εἰς τοὺς τῷ *Δ* ἴσους τοὺς *EK*, *KΛ*, *ΛZ*. ἔσται δὴ ἴσον τὸ πλῆθος τῶν *BH*, *HΘ*, *ΘΓ* τῷ πλήθει τῶν *EK*, *KΛ*, *ΛZ*. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ *BH*, *HΘ*, *ΘΓ* μονάδες ἀλλήλαις, εἰσὶ δὲ καὶ οἱ *EK*, *KΛ*, *ΛZ* ἀριθμοὶ ἴσοι ἀλλήλοις, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν *BH*, *HΘ*, *ΘΓ* μονάδων τῷ πλήθει τῶν *EK*, *KΛ*, *ΛZ* ἀριθμῶν, ἔσται ἄρα ὡς ἡ *BH* μονὰς πρὸς τὸν *EK* ἀριθμόν, οὕτως ἡ *HΘ* μονὰς πρὸς τὸν *KΛ* ἀριθμὸν καὶ ἡ *ΘΓ* μονὰς πρὸς τὸν *ΛZ* ἀριθμόν. ἔσται ἄρα καὶ ὡς εἷς

---


2. *ἐναλλὰξ ἄρα*] in ras. m. 1 p. *A*] in ras. φ. 6. *ἀριθμόν*] om. p. 7. *ἀριθμόν*] om. B. 8. *μετρεῖ* B. 9. *τινα*] e corr. V. *μετρήτω* B φ. 10. *δέ*] supra m. 1 V. ὁ *Δ*] supra m. 1 V. *τινά*] *τινὰ μετρείτω* V, *τινὰ μετρήτω* φ.

quare etiam $A : \Delta = \Gamma : Z$. ergo permutatim erit $A : \Gamma = \Delta : Z$ [id.]; quod erat demonstrandum.

XV.

Si unitas numerum aliquem metitur, et alius numerus alium numerum aequaliter metitur, etiam permutatim unitas tertium numerum et secundus quartum aequaliter metietur.

Nam unitas A numerum aliquem $B\Gamma$ metiatur, et alius numerus Δ alium numerum EZ aequaliter metiatur. dico, etiam permutatim unitatem A numerum Δ et $B\Gamma$ numerum EZ aequaliter metiri.



nam quoniam unitas A numerum $B\Gamma$ et Δ numerum EZ aequaliter metitur, quot sunt in $B\Gamma$ unitates, tot etiam in EZ numeri sunt numero Δ aequales. diuidatur $B\Gamma$ in unitates suas BH, $H\Theta$, $\Theta\Gamma$ et EZ in numeros EK, $K\Lambda$, ΛZ numero Δ aequales. erit igitur multitudo numerorum BH, $H\Theta$, $\Theta\Gamma$ multitudini numerorum EK, $K\Lambda$, ΛZ aequalis. et quoniam

$$BH = H\Theta = \Theta\Gamma$$

et etiam $EK = K\Lambda = \Lambda Z$, et multitudo unitatum BH, $H\Theta$, $\Theta\Gamma$ multitudini numerorum EK, $K\Lambda$, ΛZ aequalis est, erit $BH : EK = H\Theta : K\Lambda = \Theta\Gamma : \Lambda Z$.

---

11. *μετρείτω*] om. V φ. *ἰσάκις*] om. p. 12. *μετρεῖ ἰσάκις* p. 15. *εἰσίν* PB. *ἀριθμῷ* p. 16. *ὁ*] *ἡ* φ. *ἑαυτῷ*] PB, *αὑτῷ* Vpφ. 18. *δή*] *δέ* p. 19. *KΛ*] *K* e corr. V. 23. *τῶν EK*] *τῷ M*, *EK* φ. 24. *ὡς*] m. 2 V. *τόν*] om. p. *οὕτως*] in ras. m. 2 V. 25. *HΘ*] in ras. m. 2 V. *KΛ*] in ras. m. 2 V. *καὶ ἡ — 26: ἀριθμόν*] mg. m. 2 V. 26. *ἀριθμόν*] om. B. *ἔσται*] *ἐστιν* comp. p.

τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ἡ *BH* μονὰς πρὸς τὸν *EK* ἀριθμόν, οὕτως ὁ *BΓ* πρὸς τὸν *EZ*. ἴση δὲ ἡ *BH* μονὰς τῇ *A* μονάδι, ὁ δὲ *EK* ἀριθμὸς τῷ *Δ* ἀριθμῷ. ἔστιν ἄρα ὡς ἡ *A* μονὰς πρὸς τὸν *Δ* ἀριθμόν, οὕτως ὁ *BΓ* πρὸς τὸν *EZ*. ἰσάκις ἄρα ἡ *A* μονὰς τὸν *Δ* ἀριθμὸν μετρεῖ καὶ ὁ *BΓ* τὸν *EZ*· ὅπερ ἔδει δεῖξαι.

ιϛ'.

Ἐὰν δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν ἴσοι ἀλλήλοις ἔσονται.

Ἔστωσαν δύο ἀριθμοὶ οἱ *A*, *B*, καὶ ὁ μὲν *A* τὸν *B* πολλαπλασιάσας τὸν *Γ* ποιείτω, ὁ δὲ *B* τὸν *A* πολλαπλασιάσας τὸν *Δ* ποιείτω· λέγω, ὅτι ἴσος ἐστὶν ὁ *Γ* τῷ *Δ*.

Ἐπεὶ γὰρ ὁ *A* τὸν *B* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, ὁ *B* ἄρα τὸν *Γ* μετρεῖ κατὰ τὰς ἐν τῷ *A* μονάδας. μετρεῖ δὲ καὶ ἡ *E* μονὰς τὸν *A* ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ *E* μονὰς τὸν *A* ἀριθμὸν μετρεῖ καὶ ὁ *B* τὸν *Γ*. ἐναλλὰξ ἄρα ἰσάκις ἡ *E* μονὰς τὸν *B* ἀριθμὸν μετρεῖ καὶ ὁ *A* τὸν *Γ*. πάλιν, ἐπεὶ ὁ *B* τὸν *A* πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, ὁ *A* ἄρα τὸν *Δ* μετρεῖ κατὰ τὰς ἐν τῷ *B* μονάδας. μετρεῖ δὲ καὶ ἡ *E* μονὰς τὸν *B* κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ *E* μονὰς τὸν *B* ἀριθμὸν μετρεῖ καὶ ὁ *A* τὸν *Δ*. ἰσάκις δὲ ἡ *E* μονὰς τὸν *B* ἀριθμὸν ἐμέτρει καὶ ὁ *A* τὸν *Γ*·

---

3. ἄρα] ἄρα καί p. πρός] bis P. 4. ὁ] ἡ p. μονάδι] -δι in ras. V. 7. ἡ] ὁ P. *A*] supra m. 2 V. μο-

erit autem etiam, ut unus praecedentium ad unum sequentium, ita omnes praecedentes ad omnes sequentes [prop. XII]. quare $BH : EK = B\Gamma : EZ$. sed $BH = A$, et $EK = \Delta$. quare erit $A : \Delta = B\Gamma : EZ$. ergo unitas A numerum Δ et $B\Gamma$ numerum EZ aequaliter metitur; quod erat demonstrandum.


XVI.

Si duo numeri alter alterum multiplicans numeros aliquos efficiunt, numeri effecti inter se aequales erunt.

Sint duo numeri A, B, et sit

$$A \times B = \Gamma,\ B \times A = \Delta.$$

dico, esse $\Gamma = \Delta$.



nam quoniam $A \times B = \Gamma$, B numerum Γ secundum unitates numeri A metitur. uerum etiam unitas E numerum A secundum unitates eius metitur. itaque unitas E numerum A et B numerum Γ aequaliter metitur. itaque permutatim unitas E numerum B et A numerum Γ aequaliter metitur [prop. XV]. rursus quoniam $B \times A = \Delta$, A numerum Δ secundum unitates numeri B metitur. uerum etiam unitas E numerum B secundum unitates eius metitur. itaque unitas E numerum B et A numerum Δ aequaliter metitur. uerum unitas E numerum B et A numerum Γ aequa-

---

νάς] om. P. *ἀριθμόν*] om. P. *μετρῇ* φ. 11. *ποιῶσιν* B. 14. *ποιήτω* V, sed corr. 19. *ἡ*] supra m. 1 p. *E*] e corr. p. 20. *αὐτῇ* p. *ἄρα*] in ras. V. 21. *ἰσάκις ἄρα* P m. 1, corr. m. rec. 22. *ἰσάκις*] om. p. *μονὰς ἰσάκις* p. 23. *A*] in ras. m. 1 B. 25. *τῷ*] *αὐτῷ* P, corr. m. rec. 27. *τὸν Δ* — 28: *καὶ ὁ A*] om. p. 28. *ἐμέτρει*] P; *μετρεῖ* B V φ.

ἰσάκις ἄρα ἑ Α ἑκάτερον τῶν Γ, Δ μετρεῖ. ἴσος ἄρα ἐστὶν ὁ Γ τῷ Δ· ὅπερ ἔδει δεῖξαι.

ιξ'.

Ἐὰν ἀριθμὸς δύο ἀριθμοὺς πολλαπλασιάσας ποιῇ τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἔξουσι λόγον τοῖς πολλαπλασιασθεῖσιν.

Ἀριθμὸς γὰρ ὁ Α δύο ἀριθμοὺς τοὺς Β, Γ πολλαπλασιάσας τοὺς Δ, Ε ποιείτω· λέγω, ὅτι ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε.

Ἐπεὶ γὰρ ὁ Α τὸν Β πολλαπλασιάσας τὸν Δ πεποίηκεν, ὁ Β ἄρα τὸν Δ μετρεῖ κατὰ τὰς ἐν τῷ Α μονάδας. μετρεῖ δὲ καὶ ἡ Ζ μονας τὸν Α ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ Ζ μονὰς τὸν Α ἀριθμὸν μετρεῖ καὶ ὁ Β τὸν Δ. ἔστιν ἄρα ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕτως ὁ Β πρὸς τὸν Δ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ Ζ μονὰς πρὸς τὸν Α ἀριθμόν, οὕτως ὁ Γ πρὸς τὸν Ε· καὶ ὡς ἄρα ὁ Β πρὸς τὸν Δ, οὕτως ὁ Γ πρὸς τὸν Ε. ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Β πρὸς τὸν Γ, οὕτως ὁ Δ πρὸς τὸν Ε· ὅπερ ἔδει δεῖξαι.

ιη'.

Ἐὰν δύο ἀριθμοὶ ἀριθμόν τινα πολλαπλασιάσαντες ποιῶσί τινας, οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἔξουσι λόγον τοῖς πολλαπλασιάσασιν.

---


1. ὁ *A*] om. p. τῶν] τόν p. 5. τὸν αὐτόν] supra V. 7. πολλαπλασιασθεῖσι p. 8. τούς] in ras. V. 11. τῷ] αὐτῷ P, αὐτῷ τῷ m. rec. 13. αὐτῇ p. 15. ἡ] supra m. 1 p. ἀριθμόν] om. P. 17. καὶ ὡς — 18: πρὸς τὸν *E*] om. P. 18.

liter metiebatur [p. 222, 22]. itaque A utrumque numerum Γ, Δ aequaliter metitur. ergo $\Gamma = \Delta$; quod erat demonstrandum.

XVII.

Si numerus duos numeros multiplicans numeros aliquos efficit, numeri ex iis effecti eandem rationem habebunt, quam habent numeri multiplicati.

Nam numerus A duos numeros B, Γ multiplicans numeros Δ, E efficiat. dico, esse $B : \Gamma = \Delta : E$.



quoniam enim A numerum B multiplicans Δ effecit, B numerum Δ metitur secundum unitates numeri A. uerum etiam Z unitas numerum A secundum unitates eius metitur. itaque unitas Z numerum A et B numerum Δ aequaliter metitur. quare $Z : A = B : \Delta$ [def. 20]. eadem de causa erit etiam $Z : A = \Gamma : E$. quare etiam $B : \Delta = \Gamma : E$. itaque permutando [prop. XIII] $B : \Gamma = \Delta : E$; quod erat demonstrandum.

XVIII.

Si duo numeri numerum aliquem multiplicantes numeros aliquos efficiunt, numeri inde effecti eandem rationem habebunt, quam multiplicantes.

τὸν Δ] Δ V φ. 24. ἔχουσι P. πολλαπλασιάσασι p, πολλαπλασιάζουσι V φ. Dein seq. in V: δύο γὰρ ἀριθμοὶ οἱ A, B ἀριθμόν τινα τὸν Γ πολλαπλασιάσαντες ποιῶσί τινας οἱ γενόμενοι ἐξ αὐτῶν τὸν αὐτὸν ἕξουσι τοῖς πολλαπλασιασα (ras. 2 litt.); punctis del. m. 1.

Δύο γὰρ ἀριθμοὶ οἱ Α, Β ἀριθμόν τινα τὸν Γ πολλαπλασιάσαντες τοὺς Δ, Ε ποιείτωσαν· λέγω, ὅτι ἐστὶν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε.

Ἐπεὶ γὰρ ὁ Α τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν, καὶ ὁ Γ ἄρα τὸν Α πολλαπλασιάσας τὸν Δ πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Β πολλαπλασιάσας τὸν Ε πεποίηκεν. ἀριθμὸς δὴ ὁ Γ δύο ἀριθμοὺς τοὺς Α, Β πολλαπλασιάσας τοὺς Δ, Ε πεποίηκεν. ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Δ πρὸς τὸν Ε· ὅπερ ἔδει δεῖξαι.

ιθ'.

Ἐὰν τέσσαρες ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ ἐκ πρώτου καὶ τετάρτου γενόμενος ἀριθμὸς ἴσος ἔσται τῷ ἐκ δευτέρου καὶ τρίτου γενομένῳ ἀριθμῷ· καὶ ἐὰν ὁ ἐκ πρώτου καὶ τετάρτου γενόμενος ἀριθμὸς ἴσος ᾖ τῷ ἐκ δευτέρου καὶ τρίτου, οἱ τέσσαρες ἀριθμοὶ ἀνάλογον ἔσονται.


Ἔστωσαν τέσσαρες ἀριθμοὶ ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ο Γ πρὸς τὸν Δ, καὶ ὁ μὲν Α τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω, ὁ δὲ Β τὸν Γ πολλαπλασιάσας τὸν Ζ ποιείτω· λέγω, ὅτι ἴσος ἐστὶν ὁ Ε τῷ Ζ.

ὄντα] om. Vφ. 15. *λξ'* BV, P m. rec., *λη'* p. 16. Post *ἐάν* ras. 3 litt. BV. *μετρήσωσι* p, *μετρῶσι* PVφ. 20. *καί*] supra m. 1 P. 22. *οὐ*] *μή* August. *ΓΔ*] Γ B. *ΔZ*] ZΔ p, *ΓΔ* V in ras., φ. 25. *μετρήσουσιν. μετροῦσι*] *-σι μετρου-* add. m. 2 B; *μετρήσουσι μετροῦσι* Vpφ; *μετροῦσιν. μετροῦσι* P.

ὅλον τὸν ΓΔ· καὶ λοιπὸν ἄρα τὸν ΓΖ μετρήσουσιν ἐλάσσονα ὄντα τοῦ Ε· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα οὐ μετρεῖ ὁ Ε τὸν ΓΔ· μετρεῖ ἄρα· ὅπερ ἔδει δεῖξαι.

λς'.

Τριῶν ἀριθμῶν δοθέντων εὑρεῖν, ὃν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ οἱ Α, Β, Γ· δεῖ δὴ εὑρεῖν, ὃν ἐλάχιστον μετροῦσιν ἀριθμόν.

Εἰλήφθω γὰρ ὑπὸ δύο τῶν Α, Β ἐλάχιστος μετρούμενος ὁ Δ. ὁ δὴ Γ τὸν Δ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον. μετροῦσι δὲ καὶ οἱ Α, Β τὸν Δ· οἱ Α, Β, Γ ἄρα τὸν Δ μετροῦσιν. λέγω δή, ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ μή, μετρήσουσιν [τινα] ἀριθμὸν οἱ Α, Β, Γ ἐλάσσονα ὄντα τοῦ Δ. μετρείτωσαν τὸν Ε. ἐπεὶ οἱ Α, Β, Γ τὸν Ε μετροῦσιν, καὶ οἱ Α, Β ἄρα τὸν Ε μετροῦσιν. καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Α, Β μετρούμενος [τὸν Ε] μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν Α, Β μετρούμενός ἐστιν ὁ Δ· ὁ Δ ἄρα τὸν Ε μετρήσει ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα οἱ Α, Β, Γ μετρήσουσί τινα ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Δ· οἱ Α, Β, Γ ἄρα ἐλάχιστον τὸν Δ μετροῦσιν.

Μὴ μετρείτω δὴ πάλιν ὁ Γ τὸν Δ, καὶ εἰλήφθω


---

5. λη' BV, λϑ' p. 9. μετρήσουσιν P. 10. τῶν] in ras. φ. 11. δή] δέ P. 13. ἄρα Α, Β, Γ Vφ. μετροῦσι Vpφ, μετρήσουσιν P. δή] om. Vφ. 14. μετρήσουσι V et corr. ex μετρείσουσι φ. τινα] om. Pp. 15. ἀριθμόν] om. p. ἐλάσσονα] τινα ἀριθμὸν ἐλάττονα p. 16. ἐπεὶ οὖν Vφ. μετροῦσι PVpφ. 17. μετρήσουσιν P et comp. p; μετροῦσι Vφ. 18. τὸν Ε] om. P. 20. μετρήσει] comp. p, in ras. φ. 21. Γ] insert. postea φ. μετρήσουσιν B, μετροῦσι Vφ.

uerum etiam totum $\Gamma\Delta$ metiuntur. quare etiam reliquum ΓZ metientur numero E minorem; quod fieri non potest. itaque fieri non potest, ut E numerum $\Gamma\Delta$ non metiatur. ergo metitur; quod erat demonstrandum.

XXXVI.

Datis tribus numeris, quem minimum metiuntur numerum, inuenire.



Sint tres numeri dati A, B, Γ. oportet igitur, quem minimum metiuntur numerum, inuenire.

sumatur enim, quem duo numeri A, B minimum metiuntur, Δ [prop. XXXIV]. Γ igitur numerum Δ aut metitur aut non metitur. metiatur prius. uerum etiam A, B numerum Δ metiuntur. itaque A, B, Γ numerum Δ metiuntur. iam dico, eos eum etiam minimum metiri. nam si minus, A, B, Γ numerum numero Δ minorem metientur. metiantur numerum E. quoniam A, B, Γ numerum E metiuntur, etiam A, B numerum E metientur. quare etiam, quem minimum metiuntur A, B, numerum E metietur [prop. XXXV]. quem autem A, B minimum metiuntur, est Δ. Δ igitur numerum E metitur, maior minorem; quod fieri non potest. itaque A, B, Γ nullum numerum numero Δ minorem metientur. ergo A, B, Γ numerum Δ minimum metiuntur.

rursus ne metiatur Γ numerum Δ, et sumatur,

22. Γ] om. P. 23. *μετρήσουσιν* P, comp. p; *μετροῦσι* V φ. 24. *δή*] *δέ* p.

ὑπὸ τῶν Γ, Δ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ Ε. ἐπεὶ οἱ Α, Β τὸν Δ μετροῦσιν, ὁ δὲ Δ τὸν Ε μετρεῖ, καὶ οἱ Α, Β ἄρα τὸν Ε μετροῦσιν. μετρεῖ δὲ καὶ ὁ Γ [τὸν Ε· καὶ] οἱ Α, Β, Γ ἄρα τὸν Ε μετροῦσιν. λέγω δή, ὅτι καὶ ἐλάχιστον. εἰ γὰρ μή, μετρήσουσί τινα οἱ Α, Β, Γ ἐλάσσονα ὄντα τοῦ Ε. μετρείτωσαν τὸν Ζ. ἐπεὶ οἱ Α, Β, Γ τὸν Ζ μετροῦσιν, καὶ οἱ Α, Β ἄρα τὸν Ζ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Α, Β μετρούμενος τὸν Ζ μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν Α, Β μετρούμενός ἐστιν ὁ Δ· ὁ Δ ἄρα τὸν Ζ μετρεῖ. μετρεῖ δὲ καὶ ὁ Γ τὸν Ζ· οἱ Δ, Γ ἄρα τον Ζ μετροῦσιν· ὥστε καὶ ὁ ἐλάχιστος ὑπὸ τῶν Δ, Γ μετρούμενος τὸν Ζ μετρήσει. ὁ δὲ ἐλάχιστος ὑπὸ τῶν Γ, Δ μετρούμενός ἐστιν ὁ Ε· ὁ Ε ἄρα τὸν Ζ μετρεῖ ὁ μείζων τον ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα οἱ Α, Β, Γ μετρήσουσί τινα ἀριθμὸν ἐλάσσονα ὄντα τοῦ Ε. ὁ Ε ἄρα ἐλάχιστος ὢν ὑπὸ τῶν Α, Β, Γ μετρεῖται· ὅπερ ἔδει δεῖξαι.

λξ'.


Ἐὰν ἀριθμος ὑπό τινος ἀριθμοῦ μετρῆται, ὁ μετρούμενος ὁμώνυμον μέρος ἔξει τῷ μετροῦντι.

Ἀριθμὸς γὰρ ὁ Α ὑπό τινος ἀριθμοῦ τοῦ Β με-

---

1. ἀριθμός] om. p. 2. μετροῦσι Vφ. Δ] corr. ex Α p m. 2. 3. Post Β in p m. 2 insert. Γ. μετρήσουσιν P, μετροῦσι Vφ, comp. p. μετρεῖ — 4: μετροῦσιν] om. p. 4. τὸν Ε. καί] om. P. Γ] supra m. 2 V. μετρήσουσι P, μετροῦσι Vφ. 5. δή] om. Vφ. μετρήσουσιν B, comp. p; μετροῦσι Vφ. 6. τινα] om. p. τινα ἐλάττονα ἀριθμὸν ὄντα p. 7. μετροῦσιν, καὶ οἱ Α, Β ἄρα τὸν Ζ] mg. φ (μετροῦσι). μετροῦσι Vp. καὶ οἱ Α, Β ἄρα τὸν Ζ μετροῦσιν] mg. m. 2 V. 8. μετροῦσιν] μετρήσουσι V, comp. p, in ras. φ.

quem Γ, Δ minimum metiuntur numerum, E [prop. XXXIV]. quoniam A, B numerum Δ metiuntur, et Δ numerum E metitur, etiam A, B numerum E metiuntur. uerum etiam Γ numerum E metitur. itaque A, B, Γ numerum E metiuntur. iam dico, eos eum etiam minimum metiri. nam si minus, A, B, Γ numerum aliquem minorem numero E metientur. metiantur numerum Z. quoniam A, B, Γ numerum Z metiuntur, etiam A, B numerum Z metiuntur. quare etiam, quem minimum metiuntur A, B, numerum Z metietur [prop. XXXV]. uerum quem minimum metiuntur A, B, est Δ. Δ igitur numerum Z metitur. uerum etiam Γ numerum Z metitur. itaque Δ, Γ numerum Z metiuntur. quare etiam quem minimum metiuntur Δ, Γ, numerum Z metietur [id.]. uerum quem minimum metiuntur Γ, Δ, est E. itaque E numerum Z metitur, maior minorem; quod fieri non potest. itaque numeri A, B, Γ nullum numerum numero E minorem metientur. ergo E minimus est, quem A, B, Γ metiuntur; quod erat demonstrandum.



XXXVII.

Si numerum numerus aliquis metitur, is, quem metitur, partem habebit a metiente denominatam.

Numerum enim A numerus aliquis B metiatur.

---

9. *τὸν* Z — 10: *μετρούμενος*] om. p. 12. *μετρήσουσι* p. *ὥστε*] om. P. *ἄρα ὑπό* P. *Γ*, *Δ* p. 14. *Γ*, *Δ*] Pp; *Δ*, *Γ* BV*φ*. 16. *B*] om. p. *μετρήσουσι*] PB, comp. p; *μετροῦσι* V*φ*. *ἐλάττονα τοῦ E ὄντα* p. 19. *λϑ′* B (post add. m. 1, ut posthac saepius), V, P m. rec., *μ′* p. 20. *μετρεῖται φ*.

τρείσθω· λέγω, ὅτι ὁ *A* ὁμώνυμον μέρος ἔχει τῷ *B*.

Ὁσάκις γὰρ ὁ *B* τον *A* μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ *Γ*. ἐπεὶ ὁ *B* τὸν *A* μετρεῖ κατὰ τὰς ἐν τῷ *Γ* μονάδας, μετρεῖ δὲ καὶ ἡ *Δ* μονὰς τὸν *Γ* ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας, ἰσάκις ἄρα ἡ *Δ* μονὰς τὸν *Γ* ἀριθμὸν μετρεῖ καὶ ο *B* τὸν *A*. ἐναλλὰξ ἄρα ἰσάκις ἡ *Δ* μονὰς τὸν *B* ἀριθμὸν μετρεῖ καὶ ὁ *Γ* τὸν *A*· ὃ ἄρα μέρος ἐστὶν ἡ *Δ* μονὰς τοῦ *B* ἀριθμοῦ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ *Γ* τοῦ *A*. ἡ δὲ *Δ* μονὰς τοῦ *B* ἀριθμοῦ μέρος ἐστὶν ὁμώνυμον αὐτῷ· καὶ ὁ *Γ* ἄρα τοῦ *A* μέρος ἐστὶν ὁμώνυμον τῷ *B*. ὥστε ὁ *A* μέρος ἔχει τον *Γ* ὁμώνυμον ὄντα τῷ *B*· ὅπερ ἔδει δεῖξαι.

λη'.

Ἐὰν ἀριθμος μέρος ἔχῃ ὁτιοῦν, ὑπὸ ὁμωνύμου ἀριθμοῦ μετρηθήσεται τῷ μέρει.


Ἀριθμὸς γὰρ ὁ *A* μέρος ἐχέτω ὁτιοῦν τὸν *B*, καὶ τῷ *B* μέρει ὁμώνυμος ἔστω [ἀριθμὸς] ὁ *Γ*· λέγω, ὅτι ὁ *Γ* τὸν *A* μετρεῖ.

Ἐπεὶ γὰρ ὁ *B* τοῦ *A* μέρος ἐστὶν ὁμώνυμον τῷ *Γ*, ἔστι δὲ καὶ ἡ *Δ* μονὰς τοῦ *Γ* μέρος ὁμώνυμον αὐτῷ, ὃ ἄρα μέρος ἐστὶν ἡ *Δ* μονὰς τοῦ *Γ* ἀριθμοῦ, τὸ αὐτὸ μέρος ἐστὶ καὶ ὁ *B* τοῦ *A*· ἰσάκις ἄρα ἡ *Δ* μονὰς τὸν *Γ* ἀριθμὸν μετρεῖ καὶ ὁ *B* τὸν *A*. ἐναλλὰξ

---

2. τῷ] corr. ex το m. 2 V. 4. τῷ] om. φ. *Γ*] eras. V. 10. μέρος] mg. φ. 13. *Γ*] in ras. φ. ὁμώνυμον τὸν *Γ* p. ὄντα] ὄν- supra m. 1 P; om. p. 15. μ΄ BV, P m. rec.; μα΄ p. 16. ὑπό] m. 2 B. 18. τόν] τό Pφ, et e corr. V. 19. ὁμώνυμον p. ἀριθμός] om. Pp. 20. *A*] corr. ex *B* p m. 2. 21. ἐστίν] ἐστὶ καί- Vφ. 22. ἔστιν PB, comp. p. 23. μέρος ἄρα P.


dico, numerum *A* partem habiturum esse a numero *B* denominatam.



Nam quoties *B* numerum *A* metitur, tot sint unitates in *Γ*. quoniam *B* numerum *A* secundum unitates numeri *Γ* metitur, et etiam unitas *Δ* numerum *Γ* secundum unitates eius metitur, *Δ* unitas numerum *Γ* et *B* numerum *A* aequaliter metitur. itaque permutatim *Δ* unitas numerum *B* et *Γ* numerum *A* aequaliter metitur [prop. XV]. itaque quae pars est *Δ* unitas numeri *B*, eadem pars est etiam *Γ* numeri *A*. uerum *Δ* unitas numeri *B* pars est ab ipso denominata. ergo etiam *Γ* numeri *A* pars est a *B* denominata. quare *A* partem habet *Γ* a *B* denominatam; quod erat demonstrandum.

XXXVIII.

Si numerus partem quamlibet habet, numerus a parte denominatus eum metietur.



Numerus enim *A* partem quamlibet habeat *B*, et a parte *B* denominatus sit *Γ*. dico, numerum *Γ* numerum *A* metiri.

Nam quoniam *B* numeri *A* pars est a *Γ* denominata, et etiam *Δ* unitas pars est numeri *Γ* ab ipso denominata, quae pars est *Δ* unitas numeri *Γ*, eadem pars est etiam *B* numeri *A*. itaque *Δ* unitas numerum *Γ* et *B* numerum *A* aequaliter metitur. itaque

ἄρα ἰσάκις ἡ Δ μονὰς τὸν B ἀριθμὸν μετρεῖ καὶ ὁ Γ τὸν A. ὁ Γ ἄρα τὸν A μετρεῖ· ὅπερ ἔδει δεῖξαι.

λϑ′.

Ἀριθμὸν εὑρεῖν, ὃς ἐλάχιστος ὢν ἔξει τὰ δοθέντα μέρη.

Ἔστω τὰ δοθέντα μέρη τὰ A, B, Γ· δεῖ δὴ ἀριθμὸν εὑρεῖν, ὃς ἐλάχιστος ὢν ἔξει τὰ A, B, Γ μέρη.

Ἔστωσαν γὰρ τοῖς A, B, Γ μέρεσιν ὁμώνυμοι ἀριθμοὶ οἱ Δ, E, Z, καὶ εἰλήφθω ὑπὸ τῶν Δ, E, Z ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ H.

Ὁ H ἄρα ὁμώνυμα μέρη ἔχει τοῖς Δ, E, Z. τοῖς δὲ Δ, E, Z ὁμώνυμα μέρη ἐστὶ τὰ A, B, Γ· ὁ H ἄρα ἔχει τὰ A, B, Γ μέρη. λέγω δή, ὅτι καὶ ἐλάχιστος ὤν. εἰ γὰρ μή, ἔσται τις τοῦ H ἐλάσσων ἀριθμός, ὃς ἔξει τὰ A, B, Γ μέρη. ἔστω ὁ Θ. ἐπεὶ ὁ Θ ἔχει τὰ A, B, Γ μέρη, ὁ Θ ἄρα ὑπὸ ὁμωνύμων ἀριθμῶν μετρηθήσεται τοῖς A, B, Γ μέρεσιν. τοῖς δὲ A, B, Γ μέρεσιν ὁμώνυμοι ἀριθμοί εἰσιν οἱ Δ, E, Z· ὁ Θ ἄρα ὑπὸ τῶν Δ, E, Z μετρεῖται. καί ἐστιν ἐλάσσων τοῦ H· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσται τις τοῦ H ἐλάσσων ἀριθμός, ὃς ἔξει τὰ A, B, Γ μέρη· ὅπερ ἔδει δεῖξαι.


---

1. *ἰσάκις*] om. p. 3. *μα′* BV, P m. rec.; *μβ* p. 6. *ἔστω τὰ δοθέντα μέρη*] supra m. 1 p. 8. *ἔστωσαν*] *-σαν* supra V. *γάρ*] om. BVpφ. 9. *καὶ εἰλήφθω ὑπὸ τῶν Δ, E, Z*] mg. φ. *ὁ ὑπό* BVpφ. 10. Post *ὁ H* add. Theon: *ἐπεὶ* (*ἐπεὶ οὖν* Vφ, *καὶ ἐπεί* P m. rec.) *ὁ H ὑπὸ τῶν Δ, E, Z μετρεῖται* (BVpφ, P m. rec.). 11. *ἄρα*] Pp, om. BVφ. 12. *ἐστί*] *ἐστίν* PB, om. p. *τά*] om. P. *Γ*] supra m. 1 V. 14. Post *μή* add. Theon: *ὁ H ἐλάχιστος ὢν ἔχει τὰ A, B, Γ μέρη* (BVpφ, *εἰ γὰρ μὴ ὁ H ἐλάχιστος ὤν* mg. φ). *ἔσται*] *ἔστω* Pp. *τις*] supra m. 2 V. 15. *μέρη*] om. P. 19. *ἐλάττων* P. 21. Ante *ἀριθμός* eras. *ὅς* V. In fine: *Εὐκλείδου στοιχείων ζ′* PB.

permutatim Δ unitas numerum B et Γ numerum A aequaliter metitur [prop. XV]. ergo Γ numerum A metitur; quod erat demonstrandum.

XXXIX.

Numerum inuenire minimum, qui datas partes habeat.



Sint datae partes A, B, Γ. oportet igitur numerum inuenire minimum, qui partes A, B, Γ habeat.

A partibus enim A, B, Γ denominati sint numeri Δ, E, Z, et sumatur[1]) numerus H, quem Δ, E, Z minimum metiantur. H igitur partes habet a numeris Δ, E, Z denominatas [prop. XXXVII]. uerum a Δ, E, Z denominatae partes sunt A, B, Γ. itaque H partes A, B, Γ habet. iam dico, eum etiam minimum esse. nam si minus, erit numerus aliquis numero H minor, qui partes A, B, Γ habeat. sit Θ. quoniam Θ partes A, B, Γ habet, numerum Θ metientur numeri a partibus A, B, Γ denominati [prop. XXXVIII]. uerum a partibus A, B, Γ denominati sunt numeri Δ, E, Z. itaque Θ numerum numeri Δ, E, Z metiuntur. et minor est numero H; quod fieri non potest. ergo non erit numerus numero H minor, qui partes A, B, Γ habeat; quod erat demonstrandum.

---

1) Itaque Euclides hic quoque prop. 36 de tribus tantum numeris demonstratam tacite ad quamlibet numerorum multitudinem transtulit, sicuti supra in prop. 33 eodem modo prop. 3 tacite dilatauit (u. p. 255 not.).

η'.

α'.

Ἐαν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ A, B, Γ, Δ, οἱ δὲ ἄκροι αὐτῶν οἱ A, Δ, πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω, ὅτι οἱ A, B, Γ, Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς.

Εἰ γὰρ μή, ἔστωσαν ἐλάττονες τῶν A, B, Γ, Δ οἱ E, Z, H, Θ ἐν τῷ αὐτῷ λόγῳ ὄντες αὐτοῖς. καὶ ἐπεὶ οἱ A, B, Γ, Δ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ τοῖς E, Z, H, Θ, καί ἐστιν ἴσον τὸ πλῆθος [τῶν A, B, Γ, Δ] τῷ πλήθει [τῶν E, Z, H, Θ], δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ A πρὸς τὸν Δ, ὁ E πρὸς τὸν Θ. οἱ δὲ A, Δ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ A τὸν E ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα


Εὐκλείδου στοιχείων ζ : *η* V. Post titulum in textu scholium ad VII, 39 habent Vpφ; u. app. 4. *ὦσιν*] om. Vφ. *εἰσιν* PB. 9. *εἰσιν* B. 11. *H*] postea insert. V. 12. *Δ*] postea insert. V. *εἰσίν* B. 13. *καί ἐστιν* — 14: *Θ*] mg. m. 2 V. 13. *τῶν A, B, Γ, Δ*] om. P. 14. *τῶν E, Z, H, Θ*]

VIII.

I.

Si quotlibet numeri deinceps proportionales sunt, et extremi eorum inter se primi sunt, minimi sunt eorum, qui eandem rationem habent.

Sint quotlibet numeri inter se proportionales deinceps A, B, Γ, Δ, et eorum extremi A, Δ inter se primi sint. dico, numeros A, B, Γ, Δ minimos esse eorum, qui eandem rationem habeant.



Nam si minus, numeri E, Z, H, Θ numeris A, B, Γ, Δ minores sint eandem rationem habentes. et quoniam A, B, Γ, Δ et E, Z, H, Θ in eadem ratione sunt, et multitudo multitudini aequalis est, ex aequo erit [VII, 14] $A : \Delta = E : \Theta$. uerum A, Δ primi sunt, primi autem etiam minimi sunt [VII, 21], minimi autem numeri eos, qui eandem rationem habent, aequaliter metiuntur, maior maiorem et minor minorem [VII, 20], h. e. praecedens praecedentem et sequens sequentem. itaque A numerum E metitur, maior

---

om. P. 18. ὅ τε μείζων — 19: τουτέστιν] P; om. Theon (BVφ). 21. ἀδύνατον] ἄτοπον Vφ.

οἱ *E*, *Z*, *H*, *Θ* ἐλάσσονες ὄντες τῶν *A*, *B*, *Γ*, *Δ* ἐν τῷ αὐτῷ λόγῳ εἰσὶν αὐτοῖς. οἱ *A*, *B*, *Γ*, *Δ* ἄρα ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· ὅπερ ἔδει δεῖξαι.

β'.

Ἀριθμοὺς εὑρεῖν ἐξῆς ἀνάλογον ἐλαχίστους, ὅσους ἄν ἐπιτάξῃ τις, ἐν τῷ δοθέντι λόγῳ.

Ἔστω ὁ δοθεὶς λόγος ἐν ἐλαχίστοις ἀριθμοῖς ὁ τοῦ *A* πρὸς τὸν *B*· δεῖ δὴ ἀριθμοὺς εὑρεῖν ἐξῆς ἀνάλογον ἐλαχίστους, ὅσους ἄν τις ἐπιτάξῃ, ἐν τῷ τοῦ *A* πρὸς τὸν *B* λόγῳ.

Ἐπιτετάχθωσαν δὴ τέσσαρες, καὶ ὁ *A* ἑαυτὸν πολλαπλασιάσας τὸν *Γ* ποιείτω, τὸν δὲ *B* πολλαπλασιάσας τὸν *Δ* ποιείτω, καὶ ἔτι ὁ *B* ἑαυτὸν πολλαπλασιάσας τὸν *E* ποιείτω, καὶ ἔτι ὁ *A* τοὺς *Γ*, *Δ*, *E* πολλαπλασιάσας τοὺς *Z*, *H*, *Θ* ποιείτω, ὁ δὲ *B* τὸν *E* πολλαπλασιάσας τὸν *K* ποιείτω.

Καὶ ἐπεὶ ὁ *A* ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, τὸν δὲ *B* πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, [οὕτως] ὁ *Γ* πρὸς τὸν *Δ*. πάλιν, ἐπεὶ ὁ μὲν *A* τὸν *B* πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν, ὁ δὲ *B* ἑαυτὸν πολλαπλασιάσας τὸν *E* πεποίηκεν, ἑκάτερος ἄρα τῶν *A*, *B* τὸν *B* πολλαπλασιάσας ἑκάτερον τῶν *Δ*, *E* πεποίηκεν.

---


3. *εἰσιν* P. *αὐτοῖς*] om. Vφ. 7. *τις ἐπιτάξῃ* P. 9. *ἐξῆς*] supra m. 2 V, om. φ. 10. *ἐπιτάξῃ τις* Vφ. 12. *τέσσαρες*] *δ* P et post ras. 1 litt. B. 13. *τὸν δὲ B* — 14: *ποιείτω*] om. φ. 18. *μέν*] om. Vφ. 19. *πεποίηκεν*] (prius) *πεποίηκε* Vφ. 20. Ante *ἔστιν* add. Theon: *ἀριθμὸς δὴ ὁ A δύο τοὺς A, B πολλαπλασιάσας τοὺς Γ, Δ πεποίηκεν* (BVφ). *τόν*] insert. φ. *οὕτως*] om. P. 21. *μέν*] P, om. BVφ. 24. *τῶν*] *τόν* P.

minorem; quod fieri non potest. itaque E, Z, H, Θ eandem rationem non habent ac A, B, Γ, Δ, quibus minores sunt. ergo A, B, Γ, Δ minimi sunt eorum, qui eandem rationem habent; quod erat demonstrandum.

II.

Numeros inuenire minimos deinceps proportionales in data proportione, quotcunque propositum erit.

Sit data proportio in numeris minimis[1]) $A : B$. oportet igitur numeros inuenire minimos deinceps proportionales in proportione $A : B$, quotcunque propositum erit. — propositum sit, ut quattuor inueniamus, et sit $A \times A = \Gamma$, $A \times B = \Delta$, $B \times B = E$, $A \times \Gamma = Z$, $A \times \Delta = H$, $A \times E = \Theta$, $B \times E = K$.



et quoniam $A \times A = \Gamma$ et $A \times B = \Delta$, erit

$$A : B = \Gamma : \Delta \text{ [VII, 17].}$$

rursus quoniam $A \times B = \Delta$ et $B \times B = E$, uterque A, B numerum B multiplicans utramque Δ, E effecit.

---

1) Si proportio data minimis numeris proposita non est, per VII, 33 minimos inueniemus eorum, qui eandem rationem habent.

ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *E*. ἀλλ᾽ ὡς ὁ *A* πρὸς τὸν *B*, ὁ *Γ* πρὸς τὸν *Δ*· καὶ ὡς ἄρα ὁ *Γ* πρὸς τὸν *Δ*, ὁ *Δ* πρὸς τὸν *E*. καὶ ἐπεὶ ὁ *A* τοὺς *Γ*, *Δ* πολλαπλασιάσας τοὺς *Z*, *H* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Γ* πρὸς τὸν *Δ*, [οὕτως] ὁ *Z* πρὸς τὸν *H*. ὡς δὲ ὁ *Γ* πρὸς τὸν *Δ*, οὕτως ἦν ὁ *A* πρὸς τὸν *B*· καὶ ὡς ἄρα ὁ *A* πρὸς τὸν *B*, ὁ *Z* πρὸς τὸν *H*. πάλιν, ἐπεὶ ὁ *A* τοὺς *Δ*, *E* πολλαπλασιάσας τοὺς *H*, *Θ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Δ* πρὸς τὸν *E*, ὁ *H* πρὸς τὸν *Θ*. ἀλλ᾽ ὡς ὁ *Δ* πρὸς τὸν *E*, ὁ *A* πρὸς τὸν *B*. καὶ ὡς ἄρα ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *H* πρὸς τὸν *Θ*. καὶ ἐπεὶ οἱ *A*, *B* τὸν *E* πολλαπλασιάσαντες τοὺς *Θ*, *K* πεποιήκασιν, ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Θ* πρὸς τὸν *K*. ἀλλ᾽ ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὅ τε *Z* πρὸς τὸν *H* καὶ ὁ *H* πρὸς τὸν *Θ*. καὶ ὡς ἄρα ὁ *Z* πρὸς τὸν *H*, οὕτως ὅ τε *H* πρὸς τὸν *Θ* καὶ ὁ *Θ* πρὸς τὸν *K*· οἱ *Γ*, *Δ*, *E* ἄρα καὶ οἱ *Z*, *H*, *Θ*, *K* ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ *A* πρὸς τὸν *B* λόγῳ. λέγω δή, ὅτι καὶ ἐλάχιστοι. ἐπεὶ γὰρ οἱ *A*, *B* ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων· αὐτοῖς, οἱ δὲ ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων πρῶτοι πρὸς ἀλλήλους εἰσίν, οἱ *A*, *B* ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἑκάτερος μὲν τῶν *A*, *B* ἑαυτὸν πολλαπλασιάσας ἑκάτερον τῶν *Γ*, *E* πεποίηκεν, ἑκάτερον δὲ τῶν *Γ*, *E* πολλαπλασιάσας ἑκάτερον τῶν *Z*, *K* πεποίηκεν· οἱ *Γ*, *E* ἄρα καὶ οἱ *Z*, *K* πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς

---

2. ὁ *Γ*] οὕτως ὁ *Γ* V φ. 3. καὶ ὡς ἄρα ὁ *Γ* πρὸς τὸν *Δ*] mg. m. 2 V addito in fine οὕτως. ὁ *Δ*] καὶ ὁ *Δ* V, οὕτως

itaque $A : B = \Delta : E$ [VII, 18]. uerum $A : B = \Gamma : \Delta$. quare etiam $\Gamma : \Delta = \Delta : E$. et quoniam $A \times \Gamma = Z$ et $A \times \Delta = H$, erit $\Gamma : \Delta = Z : H$ [VII, 17]. uerum erat $\Gamma : \Delta = A : B$. quare etiam $A : B = Z : H$. rursus quoniam $A \times \Delta = H$ et $A \times E = \Theta$, erit [VII, 17] $\Delta : E = H : \Theta$. uerum $\Delta : E = A : B$. quare etiam $A : B = H : \Theta$. et quoniam

$$A \times E = \Theta \text{ et } B \times E = K,$$

erit [VII, 18] $A : B = \Theta : K$. uerum

$$A : B = Z : H = H : \Theta.$$

quare etiam $Z : H = H : \Theta = \Theta : K$. itaque Γ, Δ, E et Z, H, Θ, K proportionales sunt in proportione $A : B$. iam dico, eos etiam minimos esse. nam quoniam A, B minimi sunt eorum, qui eandem rationem habent, minimi autem eorum qui eandem rationem habent, inter se primi sunt [VII, 22], A, B inter se primi sunt. et uterque A, B se ipsum multiplicans utrumque Γ, E effecit, utrumque autem Γ, E multiplicans utrumque Z, K effecit. itaque Γ, E et Z, K inter se primi sunt [VII, 27].[1]) sin quotlibet numeri deinceps proportionales sunt, et extremi eorum inter se primi sunt, minimi sunt eorum,

1) H. e. Γ et E primi sunt inter se et item Z et K. numeros Γ, E, Δ corollarii causa per totam propositionem respicit.

καὶ ὁ Δ φ. E] e corr. V. 4. *τούς*] corr. ex *τοῦ* V. *τούς*] corr. ex *τοῦ* V. 5. *οὕτως*] om. P. 8. *H*] seq. ras. 1 litt. V. 10. ὁ *H*] *οὕτως* ὁ *H* φ et m. 2 V. *ἀλλ' ὡς*] *ὡς δέ* P. 12. *οὕτως καί* P. 14. *οὕτως*] om. BVφ. 15. *ἀλλ'*] *ἐδείχθη δὲ καί* Theon (BVφ). 17. *τε*] om. P. 19. *λόγῳ*] supra m. 2 B. 21. *εἰσιν* P. *αὐτοῖς* — 22: *ἐχόντων*] om. P. 22. Post *ἐχόντων* add. *αὐτοῖς* Vφ, et supra m. 2 B. 24. *εἰσί* Vφ. 27. *K*] (alt.) *H* φ. 29. *δέ*] om. φ.

ἀλλήλους ὦσιν, ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς. οἱ Γ, Δ, Ε ἄρα καὶ οἱ Ζ, Η, Θ, Κ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Β· ὅπερ ἔδει δεῖξαι.

Πόρισμα.

Ἐκ δὴ τούτου φανερόν, ὅτι ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι ὦσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ ἄκροι αὐτῶν τετράγωνοί εἰσιν, ἐὰν δὲ τέσσαρες, κύβοι.

γ′.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ Α, Β, Γ, Δ· λέγω, ὅτι οἱ ἄκροι αὐτῶν οἱ Α, Δ πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰλήφθωσαν γὰρ δύο μὲν ἀριθμοὶ ἐλάχιστοι ἐν τῷ τῶν Α, Β, Γ, Δ λόγῳ οἱ Ε, Ζ, τρεῖς δὲ οἱ Η, Θ, Κ, καὶ ἑξῆς ἑνὶ πλείους, ἕως τὸ λαμβανόμενον πλῆθος ἴσον γένηται τῷ πλήθει τῶν Α, Β, Γ, Δ. εἰλήφθωσαν καὶ ἔστωσαν οἱ Λ, Μ, Ν, Ξ.

---

1. εἰσιν PB. 2. Κ] corr. ex Γ m. 2 V. 5. πόρισμα] mg. m. 2 V, om. φ. 6. ἐάν] ἄν seq. ras. 2 litt. P. 7. ὦσιν ἐλάχιστοι V φ. ὦσιν B. λόγον] mg. φ. 9. δέ] supra m. 2 V. τέσσαρες] δ B. 17. Γ] postea insert. m. 1 V. 20. οἱ Η] corr. ex οἱ m. 2 B. 21. Κ] in ras. P. καί] supra add. αἱ m. 1 P; καὶ ἀεί B. ἕως οὗ Theon (BV φ), ἕως ἄν August. 23. ἔστωσαν] -ν e corr. m. rec. P.

qui eandem rationem habent [prop. I]. ergo Γ, Δ, E et Z, H, Θ, K minimi sunt eorum, qui eandem rationem habent ac A, B; quod erat demonstrandum.


Corollarium.

Hinc manifestum est, si tres numeri deinceps proportionales minimi sint eorum, qui eandem rationem habeant, extremos eorum quadratos esse, sin quattuor, cubos.[1])

III.

Si quotlibet numeri deinceps proportionales sunt minimi eorum, qui eandem rationem habent, extremi eorum inter se primi sunt.

Sint quotlibet numeri deinceps proportionales A, B, Γ, Δ minimi eorum, qui eandem rationem habent. dico, extremos eorum A, Δ inter se primos esse.



sumantur enim duo numeri minimi in proportione numerorum A, B, Γ, Δ [VII, 33] E, Z, tres autem H, Θ, K et deinceps uno plures [prop. II], donec multitudo sumpta aequalis fiat multitudini numerorum A, B, Γ, Δ. sumantur et sint Λ, M, N, Ξ. et quoniam E, Z minimi sunt eorum, qui eandem rationem habent, inter se primi sunt

1) Nam $A : B = \Gamma : \Delta = \Delta : E$ et $\Gamma = A^2$, $E = B^2$. praeterea $A : B = Z : H = H : \Theta = \Theta : K$ et $Z = A \times \Gamma = A^3$, $K = B \times E = B^3$.

Καὶ ἐπεὶ οἱ E, Z ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ ἑκάτερος τῶν E, Z ἑαυτὸν μὲν πολλαπλασιάσας ἑκάτερον τῶν H, K πεποίηκεν, ἑκάτερον δὲ τῶν H, K πολλαπλασιάσας ἑκάτερον τῶν Λ, Ξ πεποίηκεν, καὶ οἱ H, K ἄρα καὶ οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ οἱ A, B, Γ, Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, εἰσὶ δὲ καὶ οἱ Λ, M, N, Ξ ἐλάχιστοι ἐν τῷ αὐτῷ λόγῳ ὄντες τοῖς A, B, Γ, Δ, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν A, B, Γ, Δ τῷ πλήθει τῶν Λ, M, N, Ξ, ἕκαστος ἄρα τῶν A, B, Γ, Δ ἑκάστῳ τῶν Λ, M, N, Ξ ἴσος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ μὲν A τῷ Λ, ὁ δὲ Δ τῷ Ξ. καί εἰσιν οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους. καὶ οἱ A, Δ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ὅπερ ἔδει δεῖξαι.

δ′.

Λόγων δοθέντων ὁποσωνοῦν ἐν ἐλαχίστοις ἀριθμοῖς ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους ἐν τοῖς δοθεῖσι λόγοις.

Ἔστωσαν οἱ δοθέντες λόγοι ἐν ἐλαχίστοις ἀριθμοῖς ὅ τε τοῦ A πρὸς τὸν B καὶ ὁ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι ὁ τοῦ E πρὸς τὸν Z· δεῖ δὴ ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους ἔν τε τῷ τοῦ A πρὸς τὸν B λόγῳ καὶ ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι ἐν τῷ τοῦ E πρὸς τὸν Z.

Εἰλήφθω γὰρ ὁ ὑπὸ τῶν B, Γ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ H. καὶ ὁσάκις μὲν ὁ B τὸν H

1. *καὶ ἐπεί — 3: ἑαυτὸν μέν*] *οἱ ἄρα ἄκροι αὐτῶν οἱ Λ, Ξ πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐπεὶ γὰρ οἱ E, Z πρῶτοι ἑκάτερος δὲ αὐτῶν ἑαυτόν* Theon (BVφ). 1. *εἰσιν* P. 4. *K*] eras. V. 5. *τῶν Λ*] *τὸν Λ* P. 6. *καί*] om. BVφ. *καὶ οἱ Λ, Ξ — 7:*

[VII, 22]. et quoniam $E \times E = H$, $Z \times Z = K$ [prop. II coroll.] et $E \times H = \Lambda$, $Z \times K = \Xi$ [id.], et H, K et Λ, Ξ inter se primi sunt [VII, 27]. et quoniam A, B, Γ, Δ minimi sunt eorum, qui eandem rationem habent, et etiam Λ, M, N, Ξ minimi sunt in eadem ratione ac A, B, Γ, Δ, et multitudo numerorum A, B, Γ, Δ multitudini numerorum Λ, M, N, Ξ aequalis est, singuli A, B, Γ, Δ singulis Λ, M, N, Ξ aequales sunt. itaque $A = \Lambda$, $\Delta = \Xi$. et Λ, Ξ inter se primi sunt. ergo etiam A, Δ inter se primi sunt; quod erat demonstrandum.

IV.

Datis quotlibet rationibus in numeris minimis numeros inuenire minimos deinceps proportionales[1]) in rationibus datis.

Sint datae rationes in numeris minimis $A : B$, $\Gamma : \Delta$, $E : Z$. oportet igitur numeros minimos inuenire deinceps proportionales in rationibus

$$A : B,\ \Gamma : \Delta,\ E : Z.$$

sumatur enim, quem minimum metiuntur B, Γ, numerus H [VII, 34]. et quoties B numerum H me-

1) Uerba *ἐξῆς ἀνάλογον* hoc loco proprio sensu usurpata non sunt; neque enim rationes inter se aequales sunt. significat Euclides, terminum sequentem prioris rationis praecedentem esse posterioris. habet idem Campanus.


εἰσίν] *πρῶτοι καὶ οἱ Λ, Ξ* Theon (BVφ). 7. *καὶ ἐπεί* — 8: *εἰσι*] mg. m. 1 P. 7. *Δ*] om. B. 8. *εἰσι*] *εἰσιν* P; *ὥσι* Vφ. 9. *ἐλάχιστοι*] om. Vφ. 14. *εἰσιν*] P; *ἐπεί* Theon (BVφ). Post *ἀλλήλους* add. Theon: *εἰσίν, ἴσος δὲ ὁ μὲν Λ τῷ A ὁ δὲ Ξ τῷ Δ* (BVφ). 18. *ἀνάλογον*] P; V mg. m. 1, del. m. rec.; om. Bφ. 19. *δοθεῖσιν* B. 21. *τόν*] corr. ex *τό* V. 22. *δή*] seq. ras. 2 litt. V. 23. *ἀνάλογον*] om. BVφ.

μετρεῖ, τοσαυτάκις καὶ ὁ Α τὸν Θ μετρείτω, ὁσάκις δὲ ὁ Γ τὸν Η μετρεῖ, τοσαυτάκις καὶ ὁ Δ τὸν Κ μετρείτω. ὁ δὲ Ε τὸν Κ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον. καὶ ὁσάκις ὁ Ε τὸν Κ μετρεῖ, τοσαυτάκις καὶ ὁ Ζ τὸν Λ μετρείτω. καὶ ἐπεὶ ἰσάκις ὁ Α τὸν Θ μετρεῖ καὶ ὁ Β τὸν Η, ἔστιν ἄρα ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Θ πρὸς τὸν Η. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Η πρὸς τὸν Κ, καὶ ἔτι ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Λ· οἱ Θ, Η, Κ, Λ ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἔν τε τῷ τοῦ Α πρὸς τὸν Β καὶ ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ. λέγω δή, ὅτι καὶ ἐλάχιστοι. εἰ γὰρ μή εἰσιν οἱ Θ, Η, Κ, Λ ἑξῆς ἀνάλογον ἐλάχιστοι ἔν τε τοῖς τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἐν τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγοις, ἔστωσαν οἱ Ν, Ξ, Μ, Ο. καὶ ἐπεί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ν πρὸς τὸν Ξ, οἱ δὲ Α, Β ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον, ὁ Β ἄρα τὸν Ξ μετρεῖ. διὰ

---

1. Θ] eras. V. 2. καί] om. Vφ. 9. ἔτι ὡς] in ras. m. rec. P. 10. Θ, Η] e corr. post ras. 2 litt. V; Η, Θ B. ἀνάλογον] P; om. BVφ. 11. τε] om. Vφ. 13. Θ] eras. V. Θ, Η] Η, Θ B. 14. ἀνάλογον] P; mg. m. 1 V, del. m. rec.; om. Bφ. τε] om. BVφ. 15. καί] καὶ ἐν τῷ P. ἐν τῷ] ἔτι τῷ B, ἔτι ἐν τῷ Vφ. 16. Post λόγοις add. Vφ: ἔσονταί τινες τῶν Η, Θ, Κ, Λ ἑξῆς (mg. V) ἐλάσσονες ἀριθμοὶ ἔν τε τοῖς τοῦ Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι (supra V) τοῦ Ε πρὸς τὸν Ζ λόγοις; idem B mg. m. 2 om. ἑξῆς et ἔτι. 17. ὡς] supra m. 2 V. Ν] Η φ. 18. οἱ δὲ ἐλάχιστοι] om. P. μετροῦσιν Vφ. 20. ἐλάττων τὸν ἐλάττονα Vφ. 21. τε] om. P. 22. ἄρα] ἔτι φ.

titur, toties etiam A numerum Θ metiatur, quoties autem Γ numerum H metitur, toties etiam Δ numerum K metiatur. E igitur[1]) numerum K aut metitur



aut non metitur. prius metiatur. et quoties E numerum K metitur, toties etiam Z numerum Λ metiatur. et quoniam A numerum Θ et B numerum H aequaliter metitur, erit $A : B = \Theta : H$ [VII def. 20. VII, 13]. eadem de causa erit etiam $\Gamma : \Delta = H : K$ et praeterea $E : Z = K : \Lambda$. itaque Θ, H, K, Λ deinceps proportionales sunt in rationibus $A : B$, $\Gamma : \Delta$, $E : Z$. iam dico, eos etiam minimos esse. nam si Θ, H, K, Λ non sunt minimi deinceps proportionles in rationibus $A : B$, $\Gamma : \Delta$, $E : Z$, minimi sint N, Ξ, M, O. et quoniam est $A : B = N : \Xi$, et A, B minimi sunt, minimi autem eos, qui eandem rationem habent, aequaliter metiuntur, maior maiorem et minor minorem, h. e. praecedens praecedentem et sequens sequentem [VII, 20], B numerus numerum Ξ metitur. eadem

1) Uidetur enim pro δέ lin. 3 scribendum esse δή; cfr. p. 194, 23. 262, 11.

τὰ αὐτὰ δὴ καὶ ὁ Γ τὸν Ξ μετρεῖ· οἱ Β, Γ ἄρα τὸν Ξ μετροῦσιν· καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν Β, Γ μετρούμενος τὸν Ξ μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν Β, Γ μετρεῖται ὁ Η· ὁ Η ἄρα τὸν Ξ μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσονταί τινες τῶν Θ, Η, Κ, Λ ἐλάσσονες ἀριθμοὶ ἐξῆς ἐν τε τῷ τοῦ Α πρὸς τὸν Β καὶ τῷ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι τῷ τοῦ Ε πρὸς τὸν Ζ λόγῳ.


Μὴ μετρείτω δὴ ὁ Ε τὸν Κ. καὶ εἰλήφθω ὑπὸ τῶν Ε, Κ ἐλάχιστος μετρούμενος ἀριθμὸς ὁ Μ. καὶ ὁσάκις μὲν ὁ Κ τὸν Μ μετρεῖ, τοσαυτάκις καὶ ἑκάτερος τῶν Θ, Η ἑκάτερον τῶν Ν, Ξ μετρείτω, ὁσάκις δὲ ὁ Ε τὸν Μ μετρεῖ, τοσαυτάκις καὶ ὁ Ζ τὸν Ο μετρείτω. ἐπεὶ ἰσάκις ὁ Θ τὸν Ν μετρεῖ καὶ ὁ Η τὸν Ξ, ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Ν πρὸς τὸν Ξ. ὡς δὲ ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Α πρὸς τὸν Β· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Ν πρὸς τὸν Ξ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ξ πρὸς τὸν Μ. πάλιν, ἐπεὶ ἰσάκις ὁ Ε τὸν Μ μετρεῖ καὶ ὁ Ζ τὸν Ο, ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Μ πρὸς τὸν Ο· οἱ Ν, Ξ, Μ, Ο ἄρα ἐξῆς ἀνάλογόν εἰσιν ἐν τοῖς τοῦ τε Α πρὸς τὸν Β καὶ τοῦ Γ πρὸς τὸν Δ καὶ ἔτι τοῦ Ε πρὸς τὸν Ζ λόγοις. λέγω δή, ὅτι καὶ ἐλάχιστοι ἐν

---

1. Β, Γ] Γ, Β BVφ. 2. μετροῦσι Vφ. ὑπό] ὁ ὑπό P. 4. μετρεῖται ὁ Η. ὁ Η ἄρα] del. m. 2 B, mg. μετρούμενός ἐστιν ὁ Η· ὁ Η ἄρα τὸν Ξ μετρεῖ. 6. Θ, Η] Η, Θ Bφ et in ras. V. 7. Post ἐξῆς in B insert. m. 1: ἀνάλογον. τε] om. P. 8. Δ] Δ λόγῳ Vφ. λόγῳ] om. Vφ. 11. μέν] m. 2 V. Μ] μή φ. 12. Θ, Η] corr. ex Η, Θ V; Η, Θ PBφ. 13. Μ] μή φ. 14. ἐπεί] καὶ ἐπεί V m. 2, φ. 20. ἔστιν ἄρα — 21: τὸν Ο] mg. φ. 22. ἀνάλογον] om. BVφ. τοῦ] τῶν P. τε] om. Vφ. 23. ἔτι] om BVφ.

de causa etiam Γ numerum Ξ metitur. itaque B, Γ numerum Ξ metiuntur. quare etiam, quem minimum metiuntur B, Γ, numerum Ξ metitur [VII, 35]. minimum autem B, Γ metiuntur numerum H. itaque H numerum Ξ metitur, maior minorem; quod fieri non potest. itaque nulli numeri numeris Θ, H, K, Λ minores deinceps in rationibus $A : B$, $\Gamma : \Delta$, $E : Z$ erunt.

ne metiatur igitur E numerum K. et sumatur, quem minimum metiuntur E, K, numerus M [VII, 34].



et quoties K numerum M metitur, toties uterque Θ, H utrumque N, Ξ metiatur, quoties autem E numerum M metitur, toties etiam Z numerum O metiatur. quoniam Θ numerum N et H numerum Ξ aequaliter metitur, erit $\Theta : H = N : \Xi$ [VII def. 20. VII, 13]. uerum $\Theta : H = A : B$. quare etiam $A : B = N : \Xi$. eadem de causa etiam $\Gamma : \Delta = \Xi : M$. rursus quoniam E numerum M et Z numerum O aequaliter metitur, erit $E : Z = M : O$ [VII def. 20. VII, 13]. itaque N, Ξ, M, O deinceps proportionales sunt in rationibus

$$A : B,\ \Gamma : \Delta,\ E : Z.$$

---

24. ἐλάχιστοί εἰσιν Vφ. Dein add. BVφ: εἰ γὰρ μή εἰσιν ἐλάχιστοι (om. B) οἱ N, Ξ, M, O ἑξῆς (ἐλάχιστοι add. B).

τοῖς *A B*, *Γ Δ*, *E Z* λόγοις. εἰ γὰρ μή, ἔσονταί τινες τῶν *N*, *Ξ*, *M*, *O* ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐν τοῖς *A B*, *Γ Δ*, *E Z* λόγοις. ἔστωσαν οἱ *Π*, *P*, *Σ*, *T*. καὶ ἐπεί ἐστιν ὡς ὁ *Π* πρὸς τὸν *P*, οὕτως ὁ *A* πρὸς τὸν *B*, οἱ δὲ *A*, *B* ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον, ὁ *B* ἄρα τὸν *P* μετρεῖ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ *Γ* τὸν *P* μετρεῖ· οἱ *B*, *Γ* ἄρα τὸν *P* μετροῦσιν. καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν *B*, *Γ* μετρούμενος τὸν *P* μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν *B*, *Γ* μετρούμενός ἐστιν ὁ *H*· ὁ *H* ἄρα τὸν *P* μετρεῖ. καί ἐστιν ὡς ὁ *H* πρὸς τὸν *P*, οὕτως ὁ *K* πρὸς τὸν *Σ*· καὶ ὁ *K* ἄρα τὸν *Σ* μετρεῖ. μετρεῖ δὲ καὶ ὁ *E* τὸν *Σ*· οἱ *E*, *K* ἄρα τὸν *Σ* μετροῦσιν. καὶ ὁ ἐλάχιστος ἄρα ὑπὸ τῶν *E*, *K* μετρούμενος τὸν *Σ* μετρήσει. ἐλάχιστος δὲ ὑπὸ τῶν *E*, *K* μετροίμενός ἐστιν ὁ *M*· ὁ *M* ἄρα τὸν *Σ* μετρεῖ ὁ μείζων τὸν ἐλάσσονα· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσονταί τινες τῶν *N*, *Ξ*, *M*, *O* ἐλάσσονες ἀριθμοὶ ἑξῆς ἀνάλογον ἔν τε τοῖς τοῦ *A* πρὸς τὸν *B* καὶ τοῦ *Γ* πρὸς τὸν *Δ* καὶ ἔτι τοῦ *E* πρὸς τὸν *Z* λόγοις· οἱ *N*, *Ξ*, *M*, *O* ἄρα ἑξῆς ἀνάλογον ἐλάχιστοί εἰσιν ἐν τοῖς *A B*, *Γ Δ*, *E Z* λόγοις· ὅπερ ἔδει δεῖξαι.

---

1. *Δ*, *E*, Z] om. B. εἰ γὰρ μή] om. BVφ. 2. *N*] *H* φ. ἀνάλογον] om. BVφ. 7. τε] om. BVφ. 10. μετροῦσι Vφ. 11. ἐλάχιστος δὲ ὑπὸ τῶν *B*, *Γ* μετρούμενος] ὁ δὲ ἐλάχιστος Vφ. 12. *H*] mutat. in *Θ* m. 2, supra *H* m. 2 B. *H*] item B. μετρήσει Vφ. 13. *H*] uti supra B. 15. ἄρα] ἔτι φ. 18. *Σ*] corr. ex *E* V. 20. ἀνάλογον] om. BVφ. 21. τόν] om. B. 22. τόν] om. B. ἔτι] εἰ P. τόν] om. B. 23. ἀνάλογον] om. BVφ. ἐν] om. P.

iam dico, eos etiam minimos esse in rationibus

$$A : B,\ \Gamma : \Delta,\ E : Z.$$

nam si minus, numeri numeris N, Ξ, M, O minores deinceps proportionales erunt in rationibus

$$A : B,\ \Gamma : \Delta,\ E : Z.$$

sint Π, P, Σ, T. et quoniam est $\Pi : P = A : B$, et A, B minimi sunt, minimi autem eos, qui eandem rationem habent, aequaliter metiuntur praecedens praecedentem et sequens sequentem [VII, 20], B numerus numerum P metitur. eadem de causa etiam Γ numerum P metitur. itaque B, Γ numerum P metiuntur. quare etiam quem minimum metiuntur B, Γ, numerum P metietur [VII, 35]. quem autem minimum metiuntur B, Γ, est H. itaque H numerum P metitur. et $H : P = K : \Sigma$.[1]) quare etiam K numerum Σ metitur [VII def. 20]. uerum etiam E numerum Σ metitur [VII, 20]. itaque E, K numerum Σ metiuntur. quare etiam quem minimum metiuntur E, K, numerum Σ metietur [VII, 35]. quem autem minimum metiuntur E, K, est M. itaque M numerum Σ metitur, maior minorem; quod fieri non potest. itaque nulli numeri numeris N, Ξ, M, O minores deinceps proportionales erunt in rationibus $A : B$, $\Gamma : \Delta$, $E : Z$. ergo N, Ξ, M, O minimi sunt deinceps proportionales in rationibus $A : B$, $\Gamma : \Delta$, $E : Z$; quod erat demonstrandum.

---

1) Nam $H : K = \Gamma : \Delta$ (p. 280, 8) $= P : \Sigma$. tum u. VII, 13.

ε′.

Οἱ ἐπίπεδοι ἀριθμοὶ πρὸς ἀλλήλους λόγον ἔχουσι τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Ἔστωσαν ἐπίπεδοι ἀριθμοὶ οἱ A, B, καὶ τοῦ μὲν A πλευραὶ ἔστωσαν οἱ Γ, Δ ἀριθμοί, τοῦ δὲ B οἱ E, Z· λέγω, ὅτι ὁ A πρὸς τὸν B λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν.

Λόγων γὰρ δοθέντων τοῦ τε ὃν ἔχει ὁ Γ πρὸς τὸν E καὶ ὁ Δ πρὸς τὸν Z εἰλήφθωσαν ἀριθμοὶ ἑξῆς ἐλάχιστοι ἐν τοῖς Γ E, Δ Z λόγοις, οἱ H, Θ, K, ὥστε εἶναι ὡς μὲν τὸν Γ πρὸς τὸν E, οὕτως τὸν H πρὸς τὸν Θ, ὡς δὲ τὸν Δ πρὸς τὸν Z, οὕτως τὸν Θ πρὸς τὸν K. καὶ ὁ Δ τὸν E πολλαπλασιάσας τὸν Λ ποιείτω.

Καὶ ἐπεὶ ὁ Δ τὸν μὲν Γ πολλαπλασιάσας τὸν A πεποίηκεν, τὸν δὲ E πολλαπλασιάσας τὸν Λ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν E, οὕτως ὁ A πρὸς τὸν Λ. ὡς δὲ ὁ Γ πρὸς τὸν E, οὕτως ὁ H πρὸς τὸν Θ· καὶ ὡς ἄρα ὁ H πρὸς τὸν Θ, οὕτως ὁ A πρὸς τὸν Λ. πάλιν, ἐπεὶ ὁ E τὸν Δ πολλαπλασιάσας τὸν Λ πεποίηκεν, ἀλλὰ μὴν καὶ τὸν Z πολλαπλασιάσας τὸν B πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Z, οὕτως ὁ Λ πρὸς τὸν B. ἀλλ᾽ ὡς ὁ Δ πρὸς τὸν Z, οὕτως ὁ Θ πρὸς τὸν K· καὶ ὡς ἄρα ὁ Θ πρὸς τὸν K, οὕτως ὁ Λ πρὸς τὸν B. ἐδείχθη δὲ καὶ ὡς ὁ H πρὸς τὸν Θ, οὕτως ὁ A πρὸς τὸν Λ· δι᾽ ἴσου ἄρα ἐστὶν

---


4. *μέν*] om. P. 8. *γάρ*] *ἀεί φ*. 11. *τὸν H*] *ὁ H* P. 12. *τὸν Δ*] *ὁ Δ* P. 13. *καὶ ὁ Δ* — 14: *ποιείτω*] om. Theon (B V *φ*). eorum loco habent B V *φ*: *οἱ ἄρα H, Θ, K πρὸς ἀλλήλους ἔχουσι τοὺς τῶν πλευρῶν λόγους. ἀλλ᾽ ὁ τοῦ H πρὸς τὸν K λόγος σύγκειται ἐκ τοῦ τοῦ H πρὸς τὸν Θ καὶ τοῦ τοῦ*

V.

Numeri plani inter se rationem habent ex lateribus compositam.

Sint plani numeri A, B, et numeri A latera sint Γ, Δ, numeri B autem E, Z. dico, esse

$$A : B = \Gamma : E \times \Delta : Z.$$



nam datis rationibus $\Gamma : E$ et $\Delta : Z$[1]) sumantur numeri deinceps minimi in rationibus $\Gamma : E$ et $\Delta : Z$ [prop. IV] H, Θ, K, ita ut sit $\Gamma : E = H : \Theta$ et $\Delta : Z = \Theta : K$. et sit $\Delta \times E = \Lambda$.

et quoniam $\Delta \times \Gamma = A$ et $\Delta \times E = \Lambda$, erit $\Gamma : E = A : \Lambda$ [VII, 17]. uerum $\Gamma : E = H : \Theta$. quare etiam $H : \Theta = A : \Lambda$. rursus quoniam $E \times \Delta = \Lambda$ [VII, 16] et $E \times Z = B$, erit $\Delta : Z = \Lambda : B$ [VII, 17]. uerum $\Delta : Z = \Theta : K$. quare etiam $\Theta : K = \Lambda : B$. demonstrauimus autem, esse etiam $H : \Theta = A : \Lambda$. ergo

1) Si hae rationes minimis numeris propositae non sunt, per VII, 33 minimos numeros inueniemus, qui easdem rationes habent.

Θ πρὸς τὸν K. ὁ *H ἄρα πρὸς τὸν K λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν. λέγω οὖν, ὅτι ἐστὶν ὡς* ὁ *A πρὸς τὸν B* (in ras. B), *οὕτως* ὁ *H πρὸς τὸν K*; punctis del. V. Dein add. BVφ: ὁ *Δ γάρ* (B, V m. 1; *καὶ* ὁ *Δ* V m. 2; *καὶ* ὁ *Δ πρός* φ) *τὸν E πολλαπλασιάσας τὸν Λ ποιείτω.* 15. *καί*] om. BVφ. ὁ *Δ*] *δέ* φ. 16. *πεποίηκε* Vφ. 17. *E*] postea insert. V. 20. ὁ] ὁ *μέν* P. 22. *οὕτως* ὁ *Λ* — 23: *πρὸς τὸν* Z] mg. φ.

ὡς ὁ H πρὸς τὸν K, [οὕτως] ὁ A πρὸς τὸν B. ὁ δὲ H πρὸς τὸν K λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· καὶ ὁ A ἄρα πρὸς τὸν B λόγον ἔχει τὸν συγκείμενον ἐκ τῶν πλευρῶν· ὅπερ ἔδει δεῖξαι.

ϛ′.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ὁ δὲ πρῶτος τὸν δεύτερον μὴ μετρῇ, οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ A, B, Γ, Δ, E, ὁ δὲ A τὸν B μὴ μετρείτω· λέγω, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει.

Ὅτι μὲν οὖν οἱ A, B, Γ, Δ, E ἑξῆς ἀλλήλους οὐ μετροῦσιν, φανερόν· οὐδὲ γὰρ ὁ A τὸν B μετρεῖ. λέγω δή, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει. εἰ γὰρ δυνατόν, μετρείτω ὁ A τὸν Γ. καὶ ὅσοι εἰσὶν οἱ A, B, Γ, τοσοῦτοι εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς A, B, Γ οἱ Z, H, Θ. καὶ ἐπεὶ οἱ Z, H, Θ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ τοῖς A, B, Γ, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν A, B, Γ τῷ πλήθει τῶν Z, H, Θ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ A πρὸς τὸν Γ, οὕτως ὁ Z πρὸς τὸν Θ. καὶ ἐπεί ἐστιν ὡς ὁ A πρὸς τὸν B, οὕτως ὁ Z πρὸς τὸν H, οὐ μετρεῖ δὲ ὁ A τὸν B, οὐ μετρεῖ ἄρα οὐδὲ ὁ Z τὸν

---

1. *οὕτως*] om. P. *A*] in ras. P. *τόν*] om. P. 2. *τὸν K*] *K* P. *τόν*] corr. ex *τό* φ. 8. *μετρεῖσει* φ, sed corr. 12. *E*] om. φ. *οὐ*] m. rec. P. 13. *μετροῦσι* P m. 1, V φ; *μετρήσουσι* P m. rec. 14. *εἰ γὰρ δυνατόν, μετρείτω ὁ A τὸν Γ*] *λέγω γάρ, ὅτι οὐ μετρεῖ ὁ A τὸν Γ* Theon (B V φ). 15. *καὶ ὅσοι*] *ὅσοι γάρ* Theon (B V φ). 18. *εἰσίν* P B. 21. Z] Z, *H* B.

ex aequo erit [VII, 14] $H : K = A : B$. uerum


$$H : K = \Gamma : E \times \Delta : Z.^{1})$$

ergo etiam $A : B = \Gamma : E \times \Delta : Z$; quod erat demonstrandum.

VI.

Si quotlibet numeri deinceps proportionales sunt, et primus secundum non metitur, ne alius quidem ullus alium metietur.

Sint quotlibet numeri deinceps proportionales A, B, Γ, Δ, E, et A numerum B ne metiatur. dico, ne alium quidem ullum alium mensurum esse.



iam hoc quidem manifestum est, numeros A, B, Γ, Δ, E deinceps inter se non metiri. nam A numerum B non metitur. dico, ne alium quidem ullum alium mensurum esse. nam si fieri potest, A numerum Γ metiatur. et quot sunt A, B, Γ, tot sumantur minimi numeri eorum, qui eandem ac A, B, Γ rationem habent Z, H, Θ [VII, 33]. et quoniam Z, H, Θ in eadem ratione sunt ac A, B, Γ, et multitudo numerorum A, B, Γ aequalis est multitudini numerorum Z, H, Θ, ex aequo erit $A : \Gamma = Z : \Theta$ [VII, 14]. et quoniam est $A : B = Z : H$, et A numerum B non me-

1) Nam $H : K = H : \Theta \times \Theta : K$ et $H : \Theta = \Gamma : E$, $\Theta : K = \Delta : Z$.

Η· οὐκ ἄρα μονάς ἐστιν ὁ Ζ· ἡ γὰρ μονὰς πάντα ἀριθμὸν μετρεῖ. καί εἰσιν οἱ Ζ, Θ πρῶτοι πρὸς ἀλλήλους [οὐδὲ ὁ Ζ ἄρα τὸν Θ μετρεῖ]. καί ἐστιν ὡς ὁ Ζ πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Γ· οὐδὲ ὁ Α ἄρα τὸν Γ μετρεῖ. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει· ὅπερ ἔδει δεῖξαι.

ζ′.

Ἐὰν ὦσιν ὁποσοιοῦν ἀριθμοὶ [ἑξῆς] ἀνάλογον, ὁ δὲ πρῶτος τὸν ἔσχατον μετρῇ, καὶ τὸν δεύτερον μετρήσει.

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, Δ, ὁ δὲ Α τὸν Δ μετρείτω· λέγω, ὅτι καὶ ὁ Α τὸν Β μετρεῖ.

Εἰ γὰρ οὐ μετρεῖ ὁ Α τὸν Β, οὐδὲ ἄλλος οὐδεὶς οὐδένα μετρήσει· μετρεῖ δὲ ὁ Α τὸν Δ. μετρεῖ ἄρα καὶ ὁ Α τὸν Β· ὅπερ ἔδει δεῖξαι.

η′.

Ἐὰν δύο ἀριθμῶν μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς τὸν αὐτὸν λόγον ἔχοντας [αὐτοῖς] μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Δύο γὰρ ἀριθμῶν τῶν Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἱ Γ, Δ,


---

2. *μετρεῖ ἀριθμόν* V φ. *καί εἰσιν*] om. φ. 3. *οὐδὲ ὁ Ζ ἄρα τὸν Θ μετρεῖ*] om. P. 6. *μετρεῖ* BV φ. 8. *ἑξῆς*] om. P. 9. *ἔσχατον*] in ras. V. 10. *δεύτερον*] in ras. V. 12. *καί*] om. φ. 14. *οὐ*] *μή* BV φ. 15. Post

titur, ne Z quidem numerum H metitur [VII def. 20]. itaque Z unitas non est; nam unitas omnem numerum metitur. et Z, Θ inter se primi sunt [prop. III]. et est $Z : \Theta = A : \Gamma$. itaque [VII def. 20] ne A quidem numerum Γ metitur. similiter demonstrabimus, ne alium quidem ullum alium mensurum esse; quod erat demonstrandum.

VII.

Si quotlibet numeri deinceps proportionales sunt, et primus ultimum metitur, etiam secundum metitur.



Sint quotlibet numeri deinceps proportionales A, B, Γ, Δ, et A numerum Δ metiatur. dico, A etiam numerum B metiri.

nam si A numerum B non metitur, ne alius quidem ullus alium metietur [prop. VI]. metitur autem A numerum Δ. ergo A etiam numerum B metitur; quod erat demonstrandum.

VIII.

Si inter duos numeros secundum proportionem continuam numeri aliquot interponuntur, quot inter eos secundum proportionem continuam interponuntur numeri, totidem etiam inter eos, qui eandem rationem habent, secundum proportionem continuam interponentur.

Nam inter duos numeros A, B secundum proportionem continuam numeri aliquot Γ, Δ interponantur

---


μετρήσει add. Vφ: *ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ὁ A τὸν Δ μετρεῖν*; idem B mg. m. 2. 22. *αὐτοῖς*] om. P. 25. *Γ*] in ras. V.

καὶ πεποιήσθω ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *E* πρὸς τὸν *Z*· λέγω, ὅτι ὅσοι εἰς τοὺς *A*, *B* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς *E*, *Z* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Ὅσοι γάρ εἰσι τῷ πλήθει οἱ *A*, *B*, *Γ*, *Δ*, τοσοῦτοι εἰλήφθωσαν ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς *A*, *Γ*, *Δ*, *B* οἱ *H*, *Θ*, *K*, *Λ*· οἱ ἄρα ἄκροι αὐτῶν οἱ *H*, *Λ* πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ οἱ *A*, *Γ*, *Δ*, *B* τοῖς *H*, *Θ*, *K*, *Λ* ἐν τῷ αὐτῷ λόγῳ εἰσίν, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν *A*, *Γ*, *Δ*, *B* τῷ πλήθει τῶν *H*, *Θ*, *K*, *Λ*, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *H* πρὸς τὸν *Λ*. ὡς δὲ ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *E* πρὸς τὸν *Z*· καὶ ὡς ἄρα ὁ *H* πρὸς τὸν *Λ*, οὕτως ὁ *E* πρὸς τὸν *Z*. οἱ δὲ *H*, *Λ* πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. ἰσάκις ἄρα ὁ *H* τὸν *E* μετρεῖ καὶ ὁ *Λ* τὸν *Z*. ὁσάκις δὴ ὁ *H* τὸν *E* μετρεῖ, τοσαυτάκις καὶ ἑκάτερος τῶν *Θ*, *K* ἑκάτερον τῶν *M*, *N* μετρείτω· οἱ *H*, *Θ*, *K*, *Λ* ἄρα τοὺς *E*, *M*, *N*, *Z* ἰσάκις μετροῦσιν. οἱ *H*, *Θ*, *K*, *Λ* ἄρα τοῖς *E*, *M*, *N*, *Z* ἐν τῷ αὐτῷ λόγῳ εἰσίν. ἀλλὰ οἱ *H*, *Θ*, *K*, *Λ* τοῖς *A*, *Γ*, *Δ*, *B* ἐν τῷ αὐτῷ λόγῳ

---

3. τό] τόν φ. 6. εἰσιν B. 7. οἱ ἐλάχιστοι Vφ. 8. *Γ*, *Δ*, *B*] *B*, *Γ*, *Δ* BVφ. οἱ] corr. ex τούς m. 1 V. 9. οἱ] om. P. 10. εἰσίν] εἰσί Vφ. καὶ ἐπεί — 11: εἰσίν] om. φ. 10. *Γ*] in ras. B, post ras. 1 litt. V. 11. εἰσί V. 13. τὸν *Λ*] *Λ* B. 18. ἔχοντας αὐτοῖς BVφ. 19. τε] om. P.



et fiat $A : B = E : Z$. dico, quot inter A, B secundum proportionem continuam interponantur numeri, totidem etiam inter E, Z secundum proportionem continuam interpositum iri.

nam quot sunt numero A, B, Γ, Δ, totidem sumantur numeri minimi eorum, qui eandem rationem habent ac A, Γ, Δ, B [VII, 33] H, Θ, K, Λ. itaque extremi eorum H, Λ inter se primi sunt [prop. III]. et quoniam A, Γ, Δ, B et H, Θ, K, Λ in eadem ratione sunt, et multitudo numerorum A, Γ, Δ, B multitudini numerorum H, Θ, K, Λ aequalis est, ex aequo erit [VII, 14] $A : B = H : \Lambda$. uerum $A : B = E : Z$. quare etiam $H : \Lambda = E : Z$. sed H, Λ primi sunt, primi autem etiam minimi [VII, 21], minimi autem numeri eos, qui eandem rationem habent, aequaliter metiuntur, maior maiorem et minor minorem [VII, 20], h. e. praecedens praecedentem et sequens sequentem. itaque H numerum E et Λ numerum Z aequaliter metitur. iam quoties H numerum E metitur, toties uterque Θ, K utrumque M, N metiatur. itaque H, Θ, K, Λ numeros E, M, N, Z aequaliter metiuntur. itaque H, Θ, K, Λ et E, M, N, Z in eadem ratione sunt [VII def. 20]. uerum H, Θ, K, Λ et A, Γ, Δ, B

---

24. *τούς*] corr. ex *τοὶς* V. Z] in ras. V. *ἰσάκις* — 25: Z] mg. m. 1 V, om. φ. 26. *K*] e corr. V.

εἰσίν· καὶ οἱ *A*, Γ, *Δ*, *B* ἄρα τοῖς *E*, *M*, *N*, *Z* ἐν τῷ αὐτῷ λόγῳ εἰσίν. οἱ δὲ *A*, Γ, *Δ*, *B* ἑξῆς ἀνάλογόν εἰσιν· καὶ οἱ *E*, *M*, *N*, *Z* ἄρα ἑξῆς ἀνάλογόν εἰσιν. ὅσοι ἄρα εἰς τοὺς *A*, *B* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς *E*, *Z* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί· ὅπερ ἔδει δεῖξαι.

θ′.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου αὐτῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Ἔστωσαν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους οἱ *A*, *B*, καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν οἱ Γ, *Δ*, καὶ ἐκκείσθω ἡ *E* μονάς· λέγω, ὅτι ὅσοι εἰς τοὺς *A*, *B* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου τῶν *A*, *B* καὶ τῆς μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Εἰλήφθωσαν γὰρ δύο μὲν ἀριθμοὶ ἐλάχιστοι ἐν τῷ τῶν *A*, Γ, *Δ*, *B* λόγῳ ὄντες οἱ *Z*, *H*, τρεῖς δὲ οἱ *Θ*, *K*, *Λ*, καὶ ἀεὶ ἑξῆς ἑνὶ πλείους, ἕως ἂν ἴσον γένηται τὸ πλῆθος αὐτῶν τῷ πλήθει τῶν *A*, Γ, *Δ*, *B*. εἰλήφθωσαν, καὶ ἔστωσαν οἱ *M*, *N*, *Ξ*, *O*. φανερὸν

---

1. εἰσίν] om. P. καὶ οἱ — 2: λόγῳ εἰσίν] mg. m. 1 V, om. φ. 3. εἰσιν] (prius) εἰσι Vφ. 10. ὦσι PVφ. 11.

in eadem ratione sunt. quare etiam A, Γ, Δ, B et E, M, N, Z in eadem ratione sunt. uerum A, Γ, Δ, B deinceps proportionales sunt. quare etiam E, M, N, Z deinceps proportionales sunt. ergo quot inter A, B secundum proportionem continuam interpositi sunt numeri, totidem etiam inter E, Z secundum proportionem continuam interpositi sunt numeri; quod erat demonstrandum.

IX.

Si duo numeri inter se primi sunt et inter eos secundum proportionem continuam interponuntur numeri aliquot, quot inter eos secundum proportionem continuam interponuntur numeri, totidem etiam inter singulos et unitatem secundum proportionem continuam interponentur.

Sint duo numeri inter se primi A, B, et inter eos secundum proportionem continuam interponantur Γ, Δ, et ponatur unitas E. dico, quot inter A, B secundum proportionem continuam interponantur numeri, totidem etiam inter singulos A, B et unitatem secundum proportionem continuam interpositum iri.

sumantur enim duo numeri minimi in ratione A, Γ, Δ, B numerorum Z, H, tres autem Θ, K, Λ et semper deinceps uno plures, donec fiat multitudo eorum multitudini numerorum A, Γ, Δ, B aequalis [prop. II]. sumantur et sint M, N, Ξ, O. manifestum igitur

---

-σιν ἀριθμοὶ ὅσοι] in ras. m. 1 B. 12. ἐμπίπτωσιν P. 14. μεταξύ] ἑξῆς μεταξύ Theon (BVφ). 24. τῶν] corr. ex τόν V.

δή, ὅτι ὁ μὲν Z ἑαυτὸν πολλαπλασιάσας τὸν Θ πεποίηκεν, τὸν δὲ Θ πολλαπλασιάσας τὸν M πεποίηκεν, καὶ ὁ H ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Λ πεποίηκεν, τὸν δὲ Λ πολλαπλασιάσας τὸν O πεποίηκεν. καὶ ἐπεὶ οἱ M, N, Ξ, O ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Z, H, εἰσὶ δὲ καὶ οἱ A, Γ, Δ, B ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Z, H, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν M, N, Ξ, O τῷ πλήθει τῶν A, Γ, Δ, B, ἕκαστος ἄρα τῶν M, N, Ξ, O ἑκάστῳ τῶν A, Γ, Δ, B ἴσος ἐστίν· ἴσος ἄρα ἐστὶν ὁ μὲν M τῷ A, ὁ δὲ O τῷ B. καὶ ἐπεὶ ὁ Z ἑαυτὸν πολλαπλασιάσας τὸν Θ πεποίηκεν, ὁ Z ἄρα τὸν Θ μετρεῖ κατὰ τὰς ἐν τῷ Z μονάδας. μετρεῖ δὲ καὶ ἡ E μονὰς τὸν Z κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ E μονὰς τὸν Z ἀριθμὸν μετρεῖ καὶ ὁ Z τὸν Θ. ἔστιν ἄρα ὡς ἡ E μονὰς πρὸς τὸν Z ἀριθμόν, οὕτως ὁ Z πρὸς τὸν Θ. πάλιν, ἐπεὶ ὁ Z τὸν Θ πολλαπλασιάσας τὸν M πεποίηκεν, ὁ Θ ἄρα τὸν M μετρεῖ κατὰ τὰς ἐν τῷ Z μονάδας. μετρεῖ δὲ καὶ ἡ E μονὰς τὸν Z ἀριθμὸν κατὰ τὰς ἐν αὐτῷ μονάδας· ἰσάκις ἄρα ἡ E μονὰς τὸν Z ἀριθμὸν μετρεῖ καὶ ὁ Θ τὸν M. ἔστιν ἄρα ὡς ἡ E μονὰς πρὸς τὸν Z ἀριθμόν, οὕτως ὁ Θ πρὸς τὸν M. ἐδείχθη δὲ καὶ ὡς ἡ E μονὰς πρὸς τὸν Z ἀριθμόν, οὕτως ὁ Z πρὸς τὸν Θ·

---

1. πεποίηκε V φ. 2. πεποίηκε V φ. 3. πεποίηκε V φ. 4. πεποίηκε V φ. 5. εἰσιν P. 6. Z, H] H, Z BV φ. εἰσίν B. 7. τόν] corr. ex τῶν m. 1 P. Z, H] H, Z BV φ; E, Z P. 10. ἴσος] (prius) corr. ex ἴσον m. rec. P. 12. Z] eras. V. 13. τῷ Z] αὐτῷ V φ, τῷ Z supra m. 2 V. 18. ἄρα] ἔτι φ. 21. Θ] e corr. V; E P. 22. ὡς] supra m. 1 B. 24. πρός] (prius) supra m. 2 B.

est, esse $Z \times Z = \Theta$, $Z \times \Theta = M$, $H \times H = \Lambda$, $H \times \Lambda = O$ [prop. II coroll.]. et quoniam M, N, Ξ, O minimi sunt eorum, qui eandem rationem habent ac Z, H, uerum etiam A, Γ, Δ, B minimi sunt eorum, qui eandem rationem habent ac Z, H [prop. III], et multitudo numerorum M, N, Ξ, O multitudini numerorum A, Γ, Δ, B aequalis est, singuli M, N, Ξ, O singulis A, Γ, Δ, B aequales sunt. itaque $M = A$, $O = B$. et quoniam $Z \times Z = \Theta$, numerus Z numerum Θ secundum unitates numeri Z metitur [VII def. 15]. uerum etiam unitas E numerum Z secundum unitates ipsius metitur. itaque unitas E numerum Z et Z numerum Θ aequaliter metitur. itaque

$$E : Z = Z : \Theta$$ [VII def. 20].

rursus quoniam $Z \times \Theta = M$, numerus Θ numerum M secundum unitates numeri Z metitur [VII def. 15]. uerum etiam unitas E numerum Z secundum unitates ipsius metitur. itaque E unitas numerum Z et Θ numerum M aequaliter metitur. quare

$$E : Z = \Theta : M$$ [VII def. 20].

demonstrauimus autem, esse etiam $E : Z = Z : \Theta$.

καὶ ὡς ἄρα ἡ *E* μονὰς πρὸς τὸν *Z* ἀριθμόν, οὕτως ὁ *Z* πρὸς τὸν *Θ* καὶ ὁ *Θ* πρὸς τὸν *M*. ἴσος δὲ ὁ *M* τῷ *A*· ἔστιν ἄρα ὡς ἡ *E* μονὰς πρὸς τὸν *Z* ἀριθμόν, οὕτως ὁ *Z* πρὸς τὸν *Θ* καὶ ὁ *Θ* πρὸς τὸν *A*. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ἡ *E* μονὰς πρὸς τὸν *H* ἀριθμόν, οὕτως ὁ *H* πρὸς τὸν *Λ* καὶ ὁ *Λ* πρὸς τὸν *B*. ὅσοι ἄρα εἰς τοὺς *A*, *B* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ ἑκατέρου τῶν *A*, *B* καὶ μονάδος τῆς *E* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί· ὅπερ ἔδει δεῖξαι.

ι΄.

Ἐὰν δύο ἀριθμῶν ἑκατέρου καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅσοι ἑκατέρου αὐτῶν καὶ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς αὐτοὺς μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.

Δύο γὰρ ἀριθμῶν τῶν *A*, *B* καὶ μονάδος τῆς *Γ* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἵ τε *Δ*, *E* καὶ οἱ *Z*, *H*· λέγω, ὅτι ὅσοι ἑκατέρου τῶν *A*, *B* καὶ μονάδος τῆς *Γ* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεπτώκασιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς *A*, *B* μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπεσοῦνται.


---

2. *πρὸς τὸν M* — 4: *πρὸς τὸν A*] add. m. 2 B; sed *πρὸς τὸν A* lin. 4 etiam in textu sunt a m. 1. 2. *ἴσος δὲ ὁ M τῷ A*] *ὁ δὲ M* (*μὴ φ*) *τῷ A ἐστιν ἴσος* BV*φ*; in V haec uerba et seq. ad *πρὸς τὸν A* lin. 4 in mg. sunt m. 2. 3. *ἡ*] corr. ex *ὁ φ*. 13. *ἑκατέρου*] om. Theon (BV*φ*). 15. *ἑξῆς μεταξύ* Theon (BV*φ*). 16. *τό*] om. V. 18. *ἀνάλογον*] m. 2 B, om. V*φ*.

quare etiam $E : Z = Z : \Theta = \Theta : M$. uerum $M = A$. itaque erit $E : Z = Z : \Theta = \Theta : A$. eadem de causa etiam $E : H = H : \Delta = \Delta : B$. ergo quot inter A, B secundum proportionem continuam interpositi sunt numeri, totidem etiam inter singulos A, B et unitatem E secundum proportionem continuam interpositi sunt numeri; quod erat demonstrandum.

X.

Si inter duos numeros[1]) et unitatem secundum proportionem continuam numeri aliquot interpositi sunt, quot inter singulos et unitatem secundum proportionem continuam interpositi sunt numeri, totidem etiam inter ipsos secundum proportionem continuam interponentur.



Nam inter duos numeros A, B et unitatem Γ secundum proportionem continuam interponantur numeri Δ, E et Z, H. dico, quot inter singulos A, B et unitatem Γ secundum proportionem continuam interpositi sint numeri, totidem etiam inter A, B secundum proportionem continuam interpositum iri.

---

1) Scripturam codicis P lin. 13 (*ἑκατέρου*) etiam Campanus habuisse uidetur; apud eum enim VIII, 10 ita legimus: si inter utrumque eorum et unitatem quotlibet numeri continua proportionalitate ceciderint, ambobus numeris totidem continua proportionalitate interesse necesse est.

Ὁ Δ γὰρ τὸν Ζ πολλαπλασιάσας τὸν Θ ποιείτω, ἑκάτερος δὲ τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Λ ποιείτω.

Καὶ ἐπεί ἐστιν ὡς ἡ Γ μονὰς πρὸς τὸν Δ ἀριθμόν, οὕτως ὁ Δ πρὸς τὸν Ε, ἰσάκις ἄρα ἡ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Δ τὸν Ε. ἡ δὲ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Δ ἄρα ἀριθμὸς τὸν Ε μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν. πάλιν, ἐπεί ἐστιν ὡς ἡ Γ [μονὰς] πρὸς τὸν Δ ἀριθμόν, οὕτως ὁ Ε πρὸς τὸν Α, ἰσάκις ἄρα ἡ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ καὶ ὁ Ε τὸν Α. ἡ δὲ Γ μονὰς τὸν Δ ἀριθμὸν μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· καὶ ὁ Ε ἄρα τὸν Α μετρεῖ κατὰ τὰς ἐν τῷ Δ μονάδας· ὁ Δ ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ μὲν Ζ ἑαυτὸν πολλαπλασιάσας τὸν Η πεποίηκεν, τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πεποίηκεν. καὶ ἐπεὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Θ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Ε πρὸς τον Θ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Θ πρὸς τὸν Η. καὶ ὡς ἄρα ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Θ πρὸς τὸν Η. πάλιν, ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ε, Θ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Κ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Κ. ἀλλ' ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Α

---

4. *ἐστιν*] supra m. 1 V. 8. *καὶ ὁ Δ ἄρα — 9: μονάδας*] mg. m. 1 Pφ. 8. *ἄρα*] om. B. *ἀριθμός*] om. Vφ. 10. *πεποίηκε* Vφ. *μονάς*] om. P. 12. *Γ*] e corr. V. 11.

sit enim $\Delta \times Z = \Theta$, $\Delta \times \Theta = K$, $Z \times \Theta = \Lambda$. et quoniam est $\Gamma : \Delta = \Delta : E$, unitas Γ numerum Δ et Δ numerum E aequaliter metitur [VII def. 20]. uerum unitas Γ numerum Δ secundum unitates numeri Δ metitur. quare etiam numerus Δ numerum E metitur secundum unitates numeri Δ. itaque $\Delta \times \Delta = E$. rursus quoniam est $\Gamma : \Delta = E : A$, unitas Γ numerum Δ et E numerum A aequaliter metitur. uerum unitas Γ numerum Δ secundum unitates numeri Δ metitur. quare etiam E numerum A secundum unitates numeri Δ metitur. itaque $\Delta \times E = A$. eadem de causa etiam $Z \times Z = H$ et $Z \times H = B$. et quoniam $\Delta \times \Delta = E$ et

$\Delta \times Z = \Theta$, erit [VII, 17] $\Delta : Z = E : \Theta$.

eadem de causa erit etiam $\Delta : Z = \Theta : H$ [VII, 18].[1]) quare etiam $E : \Theta = \Theta : H$. rursus quoniam $\Delta \times E = A$ et $\Delta \times \Theta = K$, erit $E : \Theta = A : K$ [VII, 17]. uerum $E : \Theta = \Delta : Z$. quare etiam

$$\Delta : Z = A : K.$$

1) Cum habeamus $\Delta \times Z = \Theta$ et $Z \times Z = H$, proprie citanda est VII, 18, non VII, 17, ut in praecedenti ratiocinatione; sed cum $\Delta \times Z = Z \times \Delta$ (VII, 16), adparet, Euclidem sine errore dicere posse lin. 21 sq.: *διὰ τὰ αὐτά*.

ἰσάκις — 12: *τὸν A*] bis V (corr.), φ. 14. *καὶ ὁ E* — 15: *μονάδας*] mg. m. 1 P. 14. *A*] in ras. m. 1 B. 16. *πεποίηκε* Vφ. 17. *πεποίηκε* Vφ. 18. *πολλαπλασιάσας* φ. 19. *πεποίηκε* Vφ. 24. *τῶν E* — 25: *ἑκάτερον*] mg. m. 1 P. 25. *τὸν A, H* φ. 27. *ἀλλά* P.

πρὸς τὸν Κ. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Δ, Ζ τὸν Θ πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Λ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Λ. ἀλλ' ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Κ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Κ, οὕτως ὁ Κ πρὸς τὸν Λ. ἔτι ἐπεὶ ὁ Ζ ἑκάτερον τῶν Θ, Η πολλαπλασιάσας ἑκάτερον τῶν Λ, Β πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Λ πρὸς τὸν Β. ὡς δὲ ὁ Θ πρὸς τὸν Η, οὕτως ὁ Δ πρὸς τὸν Ζ· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὁ Λ πρὸς τὸν Β. ἐδείχθη δὲ καὶ ὡς ὁ Δ πρὸς τὸν Ζ, οὕτως ὅ τε Α πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Λ· καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Κ, οὕτως ὁ Κ πρὸς τὸν Λ καὶ ὁ Λ πρὸς τὸν Β. οἱ Α, Κ, Λ, Β ἄρα κατὰ τὸ συνεχὲς ἑξῆς εἰσιν ἀνάλογον. ὅσοι ἄρα ἑκατέρου τῶν Α, Β καὶ τῆς Γ μονάδος μεταξὺ κατὰ τὸ συνεχὲς ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, τοσοῦτοι καὶ εἰς τοὺς Α, Β μεταξὺ κατὰ τὸ συνεχὲς ἐμπεσοῦνται· ὅπερ ἔδει δεῖξαι.

ια΄.

Δύο τετραγώνων ἀριθμῶν εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, καὶ ὁ τετράγωνος πρὸς τὸν τετράγωνον διπλασίονα λόγον ἔχει ἤπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Ἔστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι τῶν Α, Β εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν Δ.

---

1. καὶ πάλιν, deleto καί P. Δ, Z] Z, Δ B. 3. Z] in ras. φ. 10. ἐδείχθη δέ] mg. φ. 12. καὶ ὡς ἄρα — 13:

rursus quoniam $\Delta \times \Theta = K$ et $Z \times \Theta = \Lambda$, erit $\Delta : Z = K : \Lambda$ [VII, 18]. uerum $\Delta : Z = A : K$. quare etiam $A : K = K : \Lambda$. praeterea quoniam $Z \times \Theta = \Lambda$ et $Z \times H = B$, erit [VII, 17] $\Theta : H = \Lambda : B$. uerum $\Theta : H = \Delta : Z$. quare etiam $\Delta : Z = \Lambda : B$. demonstrauimus autem, esse etiam

$$\Delta : Z = A : K = K : \Lambda.$$

itaque erit $A : K = K : \Lambda = \Lambda : B$. itaque A, K, Λ, B deinceps in continua proportione sunt. quot igitur inter singulos A, B et Γ unitatem secundum proportionem continuam interponuntur numeri, totidem etiam inter A, B deinceps interponentur; quod erat demonstrandum.

XI.

Inter duos numeros quadratos unus medius est proportionalis numerus, et quadratus ad quadratum duplicatam rationem habet quam latus ad latus.

Sint numeri quadrati A, B, et numeri A latus sit Γ, numeri autem B latus Δ. dico, inter A, B



unum medium esse proportionalem numerum, et esse

$$A : B = \Gamma^2 : \Delta^2.$$

πρὸς τὸν Λ] om. BVφ. 15. Γ] in ras. φ. 17. Ante καί ras. 1 litt. V. 26. τῶν] corr. ex τόν V.

Ὁ Γ γὰρ τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω. καὶ ἐπεὶ τετράγωνός ἐστιν ὁ Α, πλευρὰ δὲ αὐτοῦ ἐστιν ὁ Γ, ὁ Γ ἄρα ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Β πεποίηκεν. ἐπεὶ οὖν ὁ Γ ἑκάτερον τῶν Γ, Δ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Ε πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ο Α πρὸς τὸν Ε. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Β. καὶ ὡς ἄρα ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Ε πρὸς τὸν Β. τῶν Α, Β ἄρα εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός.

Λέγω δή, ὅτι καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει· ἥπερ ὁ Γ πρὸς τὸν Δ. ἐπεὶ γὰρ τρεῖς ἀριθμοὶ ἀνάλογόν εἰσιν οἱ Α, Ε, Β, ὁ Α ἄρα πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἥπερ ὁ Α πρὸς τὸν Ε. ὡς δὲ ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Δ. ὁ Α ἄρα πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἥπερ ἡ Γ πλευρὰ πρὸς τὴν Δ· ὅπερ ἔδει δεῖξαι.

ιβ'.

Δύο κύβων ἀριθμῶν δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί, καὶ ὁ κύβος πρὸς τὸν κύβον τριπλασίονα λόγον ἔχει ἥπερ ἡ πλευρὰ πρὸς τὴν πλευράν.

Ἔστωσαν κύβοι ἀριθμοὶ οἱ Α, Β καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι τῶν Α, Β δύο μέσοι ἀνάλογόν εἰσιν ἀριθμοί, καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Δ.

---


1. γάρ] m. 2 B, post ras. 1 litt. V. 4. πεποίηκε V φ. 8. διὰ τὰ αὐτὰ δὴ καί] P; πάλιν ἐπεὶ ὁ Γ τὸν Δ πολλαπλασιάσας τὸν Ε πεποίηκεν, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν

sit enim $\Gamma \times \Delta = E$. et quoniam quadratus est A et latus eius Γ, erit $\Gamma \times \Gamma = A$. eadem de causa etiam $\Delta \times \Delta = B$. iam quoniam $\Gamma \times \Gamma = A$ et $\Gamma \times \Delta = E$, erit $\Gamma : \Delta = A : E$ [VII, 17]. eadem de causa[1]) erit etiam $\Gamma : \Delta = E : B$. quare etiam $A : E = E : B$. ergo inter A, B unus medius est proportionalis numerus.

Iam dico, esse etiam $A : B = \Gamma^2 : \Delta^2$. nam quoniam tres numeri proportionales sunt A, E, B, erit $A : B = A^2 : E^2$ [V def. 9]. uerum $A : E = \Gamma : \Delta$. itaque $A : B = \Gamma^2 : \Delta^2$; quod erat demonstrandum.

XII.

Inter duos cubos numeros duo medii proportionales sunt numeri, et cubus ad cubum triplicatam rationem habet quam latus ad latus.



Sint cubi numeri A, B, et latus numeri A sit Γ, numeri B autem Δ. dico, inter A, B duos medios proportionales esse numeros, et esse $A : B = \Gamma^3 : \Delta^3$.

1) Nam $\Gamma \times \Delta = E$ et $\Delta \times \Delta = B$. itaque proportio illa proprie per VII, 18 (non VII, 17) efficitur. sed cfr. p. 300, 21 sq. et p. 301 not. uerba lin. 8 interpolata etiam ipsa orationis forma (*ἕνα καὶ τὸν αὐτόν*) redarguuntur.

B πεποίηκεν (*πεποίηκε* Vφ), *δύο δὴ ἀριθμοὶ οἱ Γ, Δ ἕνα καὶ τὸν αὐτὸν τὸν Δ πολλαπλασιάσαντες τοὺς E, B πεποιήκασιν· ἔστιν ἄρα* Theon (BVφ). 9. Post *B* add. Theon: *ἀλλ' ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ A πρὸς τὸν E* (BVφ). 10. *τῶν*] *τοῦ* in ras. comp. V. 11. *ἀριθμὸς ὁ E* Theon (BVφ). 18. *Δ πλευράν* Vφ. 20 *μέσους* P, corr. m. rec.

Ὁ γὰρ Γ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε ποιείτω, τὸν δὲ Δ πολλαπλασιάσας τὸν Ζ ποιείτω, ὁ δὲ Δ ἑαυτὸν πολλαπλασιάσας τὸν Η ποιείτω, ἑκάτερος δὲ τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ ποιείτω. Καὶ ἐπεὶ κύβος ἐστὶν ὁ Α, πλευρὰ δὲ αὐτοῦ ὁ Γ, καὶ ὁ Γ ἑαυτὸν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, ὁ Γ ἄρα ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Ε πεποίηκεν, τὸν δὲ Ε πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Δ ἑαυτὸν μὲν πολλαπλασιάσας τὸν Η πεποίηκεν, τὸν δὲ Η πολλαπλασιάσας τὸν Β πεποίηκεν. καὶ ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Γ, Δ πολλαπλασιάσας ἑκάτερον τῶν Ε, Ζ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Ζ. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η. πάλιν, ἐπεὶ ὁ Γ ἑκάτερον τῶν Ε, Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Α, Θ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Α πρὸς τὸν Θ. ὡς δὲ ὁ Ε πρὸς τὸν Ζ, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Θ πρὸς τὸν Κ. πάλιν, ἐπεὶ ὁ Δ ἑκάτερον τῶν Ζ, Η πολλαπλασιάσας ἑκάτερον τῶν Κ, Β πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Ζ πρὸς τὸν Η, οὕτως ὁ Κ πρὸς τὸν Β. ὡς δὲ ἑ Ζ πρὸς τὸν Η, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Δ, οὕτως ὅ τε Α πρὸς τὸν Θ καὶ ὁ Θ πρὸς τὸν Κ καὶ ὁ Κ πρὸς τὸν Β. τῶν Α, Β ἄρα δύο μέσοι ἀνάλογόν εἰσιν οἱ Θ, Κ.

---

4. Ζ] eras. V. 6. *πεποίηκε* Vφ. 7. *πεποίηκε* Vφ. 8. *πεποίηκε* Vφ. 10. *πεποίηκε* Vφ. 11. *πεποίηκε* Vφ. 17.

sit enim $\Gamma \times \Gamma = E$, $\Gamma \times \Delta = Z$, $\Delta \times \Delta = H$, $\Gamma \times Z = \Theta$, $\Delta \times Z = K$. et quoniam A cubus est, latus autem eius Γ et $\Gamma \times \Gamma = E$, erit $\Gamma \times \Gamma = E$ et $\Gamma \times E = A$. eadem de causa erit etiam $\Delta \times \Delta = H$ et $\Delta \times H = B$. et quoniam $\Gamma \times \Gamma = E$ et $\Gamma \times \Delta = Z$, erit $\Gamma : \Delta = E : Z$ [VII, 17]. eadem de causa erit etiam $\Gamma : \Delta = Z : H$ [VII, 18].[1]) rursus quoniam $\Gamma \times E = A$ et $\Gamma \times Z = \Theta$, erit $E : Z = A : \Theta$ [VII, 17]. uerum $E : Z = \Gamma : \Delta$. quare etiam $\Gamma : \Delta = A : \Theta$. rursus quoniam $\Gamma \times Z = \Theta$ et $\Delta \times Z = K$, erit [VII, 18] $\Gamma : \Delta = \Theta : K$. rursus quoniam $\Delta \times Z = K$ et $\Delta \times H = B$, erit

$$Z : H = K : B \text{ [VII, 17].}$$

uerum $Z : H = \Gamma : \Delta$. quare etiam

$$\Gamma : \Delta = A : \Theta = \Theta : K = K : B.^{2})$$

ergo inter A, B duo medii proportionales sunt Θ, K.

---

1) Nam $\Gamma \times \Delta = Z$ et $\Delta \times \Delta = H$; u. p. 305 not.

2) Euclides hic paullo breuior est, quam solet. sed recepto supplemento codicum deteriorum lin. 27 falsa illa efficitur forma orationis, quam p. 302, 12—13 cum P sustulimus. cui ut mederetur, Augustus lin. 28 post prius K interposuit: *ὡς ἄρα ὁ A πρὸς τὸν Θ οὕτως ὅ τε A πρὸς τὸν K* (!); ego malui codd. PB sequi.

οὕτως — 18: *πρὸς τόν* Z] m. 2 B. 20. *ἐπεί*] om. P. 25. B] *H* φ. 27. Post *Δ* add. V φ: *οὕτως ὁ K πρὸς τὸν B· ἐδείχθη δὲ καὶ ὡς ὁ Γ πρὸς τὸν Δ*; idem B mg. m. 2. *ὅ τε*] *τε ὁ* B. 28. *τῶν*] corr. ex *τόν* V. 29. *οἱ*] *ἀριθμοὶ οἱ* B.

Λέγω δή, ὅτι καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Δ. ἐπεὶ γὰρ τέσσαρες ἀριθμοὶ ἀνάλογόν εἰσιν οἱ Α, Θ, Κ, Β, ὁ Α ἄρα πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Α πρὸς τὸν Θ. ὡς δὲ ὁ Α πρὸς τὸν Θ, οὕτως ὁ Γ πρὸς τὸν Δ· καὶ ὁ Α [ἄρα] πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Δ· ὅπερ ἔδει δεῖξαι.

ιγ′.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, καὶ πολλαπλασιάσας ἕκαστος ἑαυτὸν ποιῇ τινα, οἱ γενόμενοι ἐξ αὐτῶν ἀνάλογον ἔσονται· καὶ ἐὰν οἱ ἐξ ἀρχῆς τοὺς γενομένους πολλαπλασιάσαντες ποιῶσί τινας, καὶ αὐτοὶ ἀνάλογον ἔσονται [καὶ ἀεὶ περὶ τοὺς ἄκρους τοῦτο συμβαίνει].

Ἔστωσαν ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, οἱ Α, Β, Γ, ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ, καὶ οἱ Α, Β, Γ ἑαυτοὺς μὲν πολλαπλασιάσαντες τοὺς Δ, Ε, Ζ ποιείτωσαν, τοὺς δὲ Δ, Ε, Ζ πολλαπλασιάσαντες τοὺς Η, Θ, Κ ποιείτωσαν· λέγω, ὅτι οἵ τε Δ, Ε, Ζ καὶ οἱ Η, Θ, Κ ἑξῆς ἀνάλογόν εἰσιν.

Ὁ μὲν γὰρ Α τὸν Β πολλαπλασιάσας τὸν Λ ποιείτω, ἑκάτερος δὲ τῶν Α, Β τὸν Λ πολλαπλασιάσας ἑκάτερον τῶν Μ, Ν ποιείτω. καὶ πάλιν ὁ μὲν Β τὸν Γ πολλαπλασιάσας τὸν Ξ ποιείτω, ἑκάτερος δὲ τῶν Β, Γ τὸν Ξ πολλαπλασιάσας ἑκάτερον τῶν Ο, Π ποιείτω.

---


1. *τριπλασίονα*] *τρ-* e corr. V. 5. *ὡς δὲ ὁ Α πρὸς τὸν Θ*] mg. φ. 6. *ἄρα*] om. P, m. 2 B. 11. *ποιεῖ* Vφ. *τινας* Vφ. 12. *γινομένους* V. 13. *ποιῶσιν* B. 22. *τὸν Λ* — 23: *πολλαπλασιάσας ἑ-*] mg. φ. 26. *τῶν*] *τόν* P. *Ο*] in ras. m. 1 B.

Iam dico, esse etiam $A : B = \Gamma^3 : \Delta^3$. nam quoniam quattuor numeri proportionales sunt A, Θ, K, B, erit $A : B = A^3 : \Theta^3$ [V def. 10]. uerum $A : \Theta = \Gamma : \Delta$. ergo $A : B = \Gamma^3 : \Delta^3$; quod erat demonstrandum.

XIII.

Si quotlibet numeri deinceps proportionales sunt, et singuli se ipsos multiplicantes numeros aliquos effecerint, numeri ex iis producti proportionales erunt; et si numeri ab initio sumpti numeros productos multiplicantes numeros aliquos effecerint, hi et ipsi proportionales erunt.[1])

Sint quotlibet numeri deinceps proportionales A, B, Γ, ita ut sit $A : B = B : \Gamma$, et sit $A \times A = \Delta$, $B \times B = E$, $\Gamma \times \Gamma = Z$, $A \times \Delta = H$, $B \times E = \Theta$, $\Gamma \times Z = K$. dico, et numeros Δ, E, Z et H, Θ, K deinceps proportionales esse.



nam sit $A \times B = \Lambda$, $A \times \Lambda = M$, $B \times \Lambda = N$, et rursus sit $B \times \Gamma = \Xi$, $B \times \Xi = O$, $\Gamma \times \Xi = \Pi$.

---

1) Uerba sequentia *καὶ ἀεί* lin. 14 — *συμβαίνει* lin. 15 subditiua uidentur; cfr. ad VII, 27. habet ea Campanus VIII, 12.

Ὁμοίως δὴ τοῖς ἐπάνω δείξομεν, ὅτι οἱ Δ, Λ, Ε καὶ οἱ Η, Μ, Ν, Θ ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ, καὶ ἔτι οἱ Ε, Ξ, Ζ καὶ οἱ Θ, Ο, Π, Κ ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Β πρὸς τὸν Γ λόγῳ. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ· καὶ οἱ Δ, Λ, Ε ἄρα τοῖς Ε, Ξ, Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ καὶ ἔτι οἱ Η, Μ, Ν, Θ τοῖς Θ, Ο, Π, Κ. καί ἐστιν ἴσον τὸ μὲν τῶν Δ, Λ, Ε πλῆθος τῷ τῶν Ε, Ξ, Ζ πλήθει, τὸ δὲ τῶν Η, Μ, Ν, Θ τῷ τῶν Θ, Ο, Π, Κ· δι' ἴσου ἄρα ἐστὶν ὡς μὲν ὁ Δ πρὸς τὸν Ε, οὕτως ὁ Ε πρὸς τὸν Ζ, ως δὲ ὁ Η πρὸς τὸν Θ, οὕτως ὁ Θ πρὸς τὸν Κ· ὅπερ ἔδει δεῖξαι.

ιδ′.

Ἐὰν τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει.

Ἐστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, πλευραὶ δὲ αὐτῶν ἔστωσαν οἱ Γ, Δ, ὁ δὲ Α τὸν Β μετρείτω· λέγω, ὅτι καὶ ὁ Γ τὸν Δ μετρεῖ.

Ὁ Γ γὰρ τὸν Δ πολλαπλασιάσας τὸν Ε ποιείτω· οἱ Α, Ε, Β ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ οἱ Α, Ε, Β ἑξῆς ἀνάλο-

---


1. Λ, Ε] e corr. V. 2. Ν] e corr. V; supra m. 2 B, id. mg. m. 2: καὶ οἱ Η, Μ, Ν, Θ. 3. Β] Z φ. λόγῳ] corr. ex λόγον φ. 5. καί ἐστιν — 6: τὸν Γ] mg. φ. 7. εἰσίν PB. 8. τῶν] om. P. Λ, Ε] e corr. V. 10. καὶ δι' ἴσου P. μὲν ὁ] ὁ μέν BVφ. 14. Post τετράγωνος add. ἀριθμός supra m. 1 Bφ, m. 2 V. Supra τετράγωνον add. ἀριθμόν B m. 2. 18. πλευρά φ. 23. λόγῳ] corr. ex λόγον φ.

iam eodem modo, quo supra[1]), demonstrabimus, numeros Δ, Λ, E et H, M, N, Θ deinceps proportionales esse in ratione $A : B$, et praeterea E, Ξ, Z et Θ, O, Π, K deinceps proportionales esse in ratione $B : \Gamma$. et $A : B = B : \Gamma$. quare etiam Δ, Λ, E et E, Ξ, Z in eadem ratione sunt et praeterea H, M, N, Θ et Θ, O, Π, K. et multitudo numerorum Δ, Λ, E multitudini numerorum E, Ξ, Z aequalis est et multitudo numerorum H, M, N, Θ multitudini numerorum Θ, O, Π, K. ex aequo igitur erit $\Delta : E = E : Z$ et $H : \Theta = \Theta : K$ [VII, 14]; quod erat demonstrandum.

XIV.

Si numerus quadratus quadratum numerum metitur, etiam latus latus metietur; et si latus latus metitur, etiam quadratus quadratum metietur.

Sint numeri quadrati A, B, latera autem eorum sint Γ, Δ, et A numerum B metiatur. dico, etiam Γ numerum Δ metiri.



sit enim $\Gamma \times \Delta = E$; itaque A, E, B deinceps proportionales sunt in ratione $\Gamma : \Delta$ [prop. XI]. et quoniam A, E, B deinceps proportionales

1) Uelut in prop. 12, scilicet per VII, 17—18. cum enim $A \times A = \Delta$ et $A \times B = \Lambda$, erit $A : B = \Delta : \Lambda$. cum $A \times B = \Lambda$ et $B \times B = E$, erit $A : B = \Lambda : E$. itaque $A : B = \Delta : \Lambda = \Lambda : E$. et cum $A \times \Delta = H$, $A \times \Lambda = M$, erit $\Delta : \Lambda = H : M$; cum $A \times \Lambda = M$, $B \times \Lambda = N$, erit $A : B = M : N = H : M$. cum $B \times \Lambda = N$, $B \times E = \Theta$, erit $\Lambda : E = N : \Theta = A : B = H : M = M : N$ cett.

γόν εἰσιν, καὶ μετρεῖ ὁ *A* τὸν *B*, μετρεῖ ἄρα καὶ ὁ *A* τὸν *E*. καί ἐστιν ὡς ὁ *A* πρὸς τὸν *E*, οὕτως ὁ *Γ* πρὸς τὸν *Δ*· μετρεῖ ἄρα καὶ ὁ *Γ* τὸν *Δ*.

Πάλιν δὴ ὁ *Γ* τὸν *Δ* μετρείτω· λέγω, ὅτι καὶ ὁ *A* τὸν *B* μετρεῖ.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δείξομεν, ὅτι οἱ *A*, *E*, *B* ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ *Γ* πρὸς τὸν *Δ* λόγῳ. καὶ ἐπεί ἐστιν ὡς ὁ *Γ* πρὸς τὸν *Δ*, οὕτως ὁ *A* πρὸς τὸν *E*, μετρεῖ δὲ ὁ *Γ* τὸν *Δ*, μετρεῖ ἄρα καὶ ὁ *A* τὸν *E*. καί εἰσιν οἱ *A*, *E*, *B* ἑξῆς ἀνάλογον· μετρεῖ ἄρα καὶ ὁ *A* τὸν *B*.

Ἐὰν ἄρα τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει· ὅπερ ἔδει δεῖξαι.

ιε′.

Ἐὰν κύβος ἀριθμὸς κύβον ἀριθμὸν μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ ὁ κύβος τὸν κύβον μετρήσει.

Κύβος γὰρ ἀριθμὸς ὁ *A* κύβον τὸν *B* μετρείτω, καὶ τοῦ μὲν *A* πλευρὰ ἔστω ὁ *Γ*, τοῦ δὲ *B* ὁ *Δ*· λέγω, ὅτι ὁ *Γ* τὸν *Δ* μετρεῖ.

Ὁ *Γ* γὰρ ἑαυτὸν πολλαπλασιάσας τὸν *E* ποιείτω, ὁ δὲ *Δ* ἑαυτὸν πολλαπλασιάσας τὸν *H* ποιείτω, καὶ ἔτι ὁ *Γ* τὸν *Δ* πολλαπλασιάσας τὸν *Z* [ποιείτω], ἐκά-

---

1. εἰσι Vφ. 2. *E*] seq. ras. 1 litt. V. 3. μετρεῖ — τόν *Δ*] om. P. 4. πάλιν δή] ἀλλὰ δὴ μετρείτω BVφ. ὁ] καὶ ὁ Vφ. μετρείτω] om. BVφ. 9. μετρεῖ — 10: τὸν *E*] om. P. 10. ἄρα] post ras. 2 litt. B. 12. Supra τετράγωνος et τετράγωνον in B scr. compp. ἀριθμός et ἀριθμόν.

sunt, et A numerum B metitur, A etiam numerum E metitur [prop. VII]. est autem $A : E = \Gamma : \Delta$. ergo etiam Γ numerum Δ metitur [VII def. 20].


Rursus Γ numerum Δ metiatur. dico, etiam A numerum B metiri.

nam iisdem comparatis similiter demonstrabimus, numeros A, E, B deinceps proportionales esse in ratione $\Gamma : \Delta$. et quoniam est $\Gamma : \Delta = A : E$, et Γ numerum Δ metitur, etiam A numerum E metitur [VII def. 20]. et A, E, B deinceps proportionales sunt. quare etiam A numerum B metitur.[1])

Ergo si numerus quadratus quadratum numerum metitur, etiam latus latus metietur; et si latus latus metitur, etiam quadratus quadratum metietur.

XV.

Si cubus numerus cubum numerum metitur, etiam latus latus metietur; et si latus latus metitur, etiam cubus cubum metietur.



Nam cubus numerus A cubum B metiatur, et numeri A latus sit Γ, numeri B autem Δ. dico, Γ numerum Δ metiri.

sit enim $\Gamma \times \Gamma = E$, $\Delta \times \Delta = H$, $\Gamma \times \Delta = Z$,

1) Nam E numerum B metitur (VII def. 20) et A numerum E.

15. *ὅπερ ἔδει δεῖξαι*] om. PB. 21. *μετρησείω φ*. 22. *Γ*] *A φ*. 23. *ὁ Γ*] *καὶ ὁ Γ* V*φ*. *μετρήσει* BV*φ*. 25. *ὁ δὲ Δ ἑαυτόν*] *καὶ ἔτι ὁ Γ τὸν Δ* BV*φ*. *H*] Z BV*φ*. *καὶ ἔτι ὁ Γ τὸν Δ*] *ὁ δὲ Δ ἑαυτόν* BV*φ*. 26. Z] *H* BV*φ*. *ποιείτω*] om. P.

τερος δὲ τῶν Γ, Δ τὸν Ζ πολλαπλασιάσας ἑκάτερον τῶν Θ, Κ ποιείτω. φανερὸν δή, ὅτι οἱ Ε, Ζ, Η καὶ οἱ Α, Θ, Κ, Β ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ οἱ Α, Θ, Κ, Β ἑξῆς ἀνάλογόν εἰσιν, καὶ μετρεῖ ὁ Α τὸν Β, μετρεῖ ἄρα καὶ τὸν Θ. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Θ, οὕτως ὁ Γ πρὸς τὸν Δ· μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ.

Ἀλλὰ δὴ μετρείτω ὁ Γ τὸν Δ· λέγω, ὅτι καὶ ο Α τὸν Β μετρήσει.

Τῶν γὰρ αὐτῶν κατασκευασθέντων ὁμοίως δὴ δείξομεν, ὅτι οἱ Α, Θ, Κ, Β ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ ὁ Γ τὸν Δ μετρεῖ, καί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Θ, καὶ ὁ Α ἄρα τὸν Θ μετρεῖ· ὥστε καὶ τὸν Β μετρεῖ ὁ Α· ὅπερ ἔδει δεῖξαι.

ιϛ′.

Ἐὰν τετράγωνος ἀριθμὸς τετράγωνον ἀριθμὸν μὴ μετρῇ, οὐδὲ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· κἂν ἡ πλευρὰ τὴν πλευρὰν μὴ μετρῇ, οὐδὲ ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει.

Ἑστωσαν τετράγωνοι ἀριθμοὶ οἱ Α, Β, πλευραὶ δὲ αὐτῶν ἔστωσαν οἱ Γ, Δ, καὶ μὴ μετρείτω ὁ Α τὸν Β· λέγω, ὅτι οὐδὲ ὁ Γ τὸν Δ μετρεῖ.

Εἰ γὰρ μετρεῖ ὁ Γ τὸν Δ, μετρήσει καὶ ὁ Α τον Β. οὐ μετρεῖ δὲ ὁ Α τὸν Β· οὐδὲ ἄρα ὁ Γ τὸν Δ μετρήσει.

---


3. οἱ] om. V φ. 5. εἰσι V φ. 6. Θ] om. φ. 7. μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ] mg. m. 1 P. 9. μετρείσει φ. 10. αὐτόν φ. δή] om. B. 12. τόν] om. P. καί] m.

$\Gamma \times Z = \Theta$, $\Delta \times Z = K$. manifestum igitur, numeros E, Z, H et A, Θ, K, B deinceps proportionales esse in ratione $\Gamma : \Delta$ [prop. XII]. et quoniam A, Θ, K, B deinceps proportionales sunt, et A numerum B metitur, etiam numerum Θ metitur [prop. VII]. uerum $A : \Theta = \Gamma : \Delta$. ergo etiam Γ numerum Δ metitur.

Rursus metiatur Γ numerum Δ. dico, etiam A numerum B metiri. nam iisdem comparatis similiter demonstrabimus, numeros A, Θ, K, B deinceps proportionales esse in ratione $\Gamma : \Delta$. et quoniam Γ numerum Δ metitur, et $\Gamma : \Delta = A : \Theta$, etiam A numerum Θ metitur [VII def. 20]. quare etiam numerum B[1]) metitur A; quod erat demonstrandum.

XVI.

Si numerus quadratus quadratum numerum non metitur, ne latus quidem latus metietur; et si latus latus non metitur, ne quadratus quidem quadratum metietur.



Sint numeri quadrati A, B, latera autem eorum sint Γ, Δ, et A numerum B ne metiatur. dico, ne Γ quidem numerum Δ metiri.

nam si Γ numerum Δ metitur, etiam A numerum B metietur [prop. XIV]. at A numerum B non metitur. ergo ne Γ quidem numerum Δ metietur.

1) Cfr. p. 313 not.

---

2 B, om. Vφ. 19. *μή*] supra V. 22. *ἀριθμοί*] m. 2 B, om. Vφ. 23. *μή*] supra V. 24. *λέγω δέ* P. *οὐδ'* V. *μετρήσει* Vφ. *μετρεῖ* — 25: *τὸν Δ*] mg. m. 1 P. 26. *οὐδ'* B.

Μὴ μετρείτω [δὴ] πάλιν ὁ Γ τὸν Δ· λέγω, ὅτι οὐδὲ ὁ Α τὸν Β μετρήσει.

Εἰ γὰρ μετρεῖ ὁ Α τὸν Β, μετρήσει καὶ ὁ Γ τὸν Δ. οὐ μετρεῖ δὲ ὁ Γ τὸν Δ· οὐδ' ἄρα ο Α τὸν Β μετρήσει· ὅπερ ἔδει δεῖξαι.

ιξ'.

Ἐὰν κύβος ἀριθμὸς κύβον ἀριθμὸν μὴ μετρῇ, οὐδὲ ἡ πλευρὰ τὴν πλευρὰν μετρήσει· κἂν ἡ πλευρὰ τὴν πλευρὰν μὴ μετρῇ, οὐδὲ ὁ κύβος τὸν κύβον μετρήσει.

Κύβος γὰρ ἀριθμὸς ὁ Α κύβον ἀριθμὸν τὸν Β μὴ μετρείτω, καὶ τοῦ μὲν Α πλευρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ· λέγω, ὅτι ὁ Γ τὸν Δ οὐ μετρήσει.

Εἰ γὰρ μετρεῖ ὁ Γ τὸν Δ, καὶ ὁ Α τὸν Β μετρήσει. οὐ μετρεῖ δὲ ὁ Α τὸν Β· οὐδ' ἄρα ὁ Γ τὸν Δ μετρεῖ.

Ἀλλὰ δὴ μὴ μετρείτω ὁ Γ τὸν Δ· λέγω, ὅτι οὐδὲ ὁ Α τὸν Β μετρήσει.

Εἰ γὰρ ὁ Α τὸν Β μετρεῖ, καὶ ὁ Γ τὸν Δ μετρήσει. οὐ μετρεῖ δὲ ὁ Γ τὸν Δ· οὐδ' ἄρα ὁ Α τὸν Β μετρήσει· ὅπερ ἔδει δεῖξαι.

ιη'.

Δύο ὁμοίων ἐπιπέδων ἀριθμῶν εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός· καὶ ὁ ἐπίπεδος πρὸς τὸν ἐπίπεδον διπλασίονα λόγον ἔχει ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν.

---


1. *δή*] om. P. 3. *εἰ γὰρ μετρεῖ ὁ Α τὸν Β*] mg. m. 1 P. *μετρήσει*] om. P. 4. *Δ*] eras. V. *οὐ μετρεῖ δὲ ὁ Γ τὸν Δ*] m. 2 B. 5. *ὅπερ ἔδει δεῖξαι*] om. B. 9. *μετρῇ*] -*ῇ*

Rursus Γ numerum Δ ne metiatur. dico, ne A quidem numerum B metiri.

nam si A numerum B metitur, etiam Γ numerum Δ metietur [prop. XIV]. at Γ numerum Δ non metitur. ergo ne A quidem numerum B metietur; quod erat demonstrandum.

XVII.

Si cubus numerus cubum numerum non metitur, ne latus quidem latus metietur; et si latus latus non metitur, ne cubus quidem cubum metietur.



Nam cubus numerus A cubum numerum B ne metiatur, et numeri A latus sit Γ, numeri B autem Δ. dico, Γ numerum Δ non metiri.

nam si Γ numerum Δ metitur, etiam A numerum B metietur [prop. XV]. at A numerum B non metitur. ergo ne Γ quidem numerum Δ metitur.

Uerum Γ numerum Δ ne metiatur. dico, ne A quidem numerum B metiri.

nam si A numerum B metitur, etiam Γ numerum Δ metietur [prop. XV]. at Γ numerum Δ non metitur. ergo ne A quidem numerum B metietur; quod erat demonstrandum.

XVIII.

Inter duos similes numeros planos unus medius est proportionalis numerus; et planus ad planum

---

in ras. φ. 13. δ] (prius) corr. ex $\tau o\tilde{\upsilon}$ V. 14. $\mu\varepsilon\tau\rho\varepsilon\tilde{\iota}$] $\mu\varepsilon\tau\rho\acute{\eta}\sigma\varepsilon\iota$ Vφ. 15. $o\dot{\upsilon}\delta\acute{\varepsilon}$ Vφ. 20. δ A] supra m. 2 V. 21. $\ddot{o}\pi\varepsilon\rho$ $\check{\varepsilon}\delta\varepsilon\iota$ $\delta\varepsilon\tilde{\iota}\xi\alpha\iota$] om. BV$\varphi$.

Ἔστωσαν δύο ὅμοιοι ἐπίπεδοι ἀριθμοὶ οἱ A, B, καὶ τοῦ μὲν A πλευραὶ ἔστωσαν οἱ Γ, Δ ἀριθμοί, τοῦ δὲ B οἱ E, Z. καὶ ἐπεὶ ὅμοιοι ἐπίπεδοί εἰσιν οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ E πρὸς τὸν Z. λέγω οὖν, ὅτι τῶν A, B εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός, καὶ ὁ A πρὸς τὸν B διπλασίονα λόγον ἔχει ἤπερ ὁ Γ πρὸς τὸν E ἢ ὁ Δ πρὸς τὸν Z, τουτέστιν ἤπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον [πλευράν].

Καὶ ἐπεί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ E πρὸς τὸν Z, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Γ πρὸς τὸν E, ὁ Δ πρὸς τὸν Z. καὶ ἐπεὶ ἐπίπεδός ἐστιν ὁ A, πλευραὶ δὲ αὐτοῦ οἱ Γ, Δ, ὁ Δ ἄρα τὸν Γ πολλαπλασιάσας τὸν A πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ E τὸν Z πολλαπλασιάσας τὸν B πεποίηκεν. ὁ Δ δὴ τὸν E πολλαπλασιάσας τὸν H ποιείτω. καὶ ἐπεὶ ὁ Δ τὸν μὲν Γ πολλαπλασιάσας τὸν A πεποίηκεν, τὸν δὲ E πολλαπλασιάσας τὸν H πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν E, οὕτως ὁ A πρὸς τὸν H. ἀλλ' ὡς ὁ Γ πρὸς τὸν E, [οὕτως] ὁ Δ πρὸς τὸν Z· καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Z, οὕτως ὁ A πρὸς τὸν H. πάλιν, ἐπεὶ ὁ E τὸν μὲν Δ πολλαπλασιάσας τὸν H πεποίηκεν, τὸν δὲ Z πολλαπλασιάσας τὸν B πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Z, οὕτως ὁ H πρὸς τὸν B. ἐδείχθη δὲ καὶ ὡς ὁ Δ πρὸς τὸν Z, οὕτως ὁ A πρὸς τὸν H· καὶ ὡς ἄρα ὁ A πρὸς τὸν H, οὕτως ὁ H πρὸς τὸν B. οἱ A, H, B ἄρα ἑξῆς ἀνάλογόν εἰσιν. τῶν A, B ἄρα εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός.


---

1. *ἀριθμοί*] om. Vφ. 9. *πλευράν*] om. P. 11. *Γ*] in ras. φ. 13. *πολυπλασιάσας* P. 14. *πεποίηκε* Vφ. 15. Z]

duplicatam rationem habet quam latera correspondentia.

Sint duo numeri plani similes A, B, et latera numeri A sint Γ, Δ, numeri B autem E, Z. et quoniam similes plani numeri ii sunt, qui latera proportionalia habent [VII def. 21], erit $\Gamma : \Delta = E : Z$. dico, inter A, B unum medium esse proportionalem numerum, et esse $A : B = \Gamma^2 : E^2 = \Delta^2 : Z^2$.

iam quoniam est $\Gamma : \Delta = E : Z$, permutando erit $\Gamma : E = \Delta : Z$ [VII, 13]. et quoniam A planus est,



latera autem eius Γ, Δ, erit $\Delta \times \Gamma = A$. eadem de causa erit etiam $E \times Z = B$. iam sit $\Delta \times E = H$. et quoniam $\Delta \times \Gamma = A$ et $\Delta \times E = H$, erit $\Gamma : E = A : H$ [VII, 17]. uerum $\Gamma : E = \Delta : Z$. quare etiam $\Delta : Z = A : H$. rursus quoniam

$E \times \Delta = H$ et $E \times Z = B$, erit $\Delta : Z = H : B$ [VII, 17]. demonstrauimus autem, esse etiam

$$\Delta : Z = A : H.$$

quare etiam $A : H = H : B$. itaque A, H, B deinceps proportionales sunt. ergo inter A, B unus medius proportionalis est numerus.

---

in ras. φ. πολυπλασιάσας P. 16. πολυπλασιάσας P. 17. μέν] supra m. 2 V. πολυπλασιάσας P. πεποίηκε Vφ. 18. πολυπλασιάσας P. 19. ἀλλ' φ. 20. οὕτως] om. P. Z] seq. οὕτως ὁ A P, del. m. 1. καὶ ὡς ἄρα ὁ Δ πρός] in ras. φ. 22. μέν] om. P. πολυπλασιάσας P. 23. πεποίηκε Vφ. πολυπλασιάσας P. 24. Z] in ras. φ. 28. εἰσι Vφ.

Λέγω δή, ὅτι καὶ ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν, τουτέστιν ἥπερ ὁ Γ πρὸς τὸν Ε ἢ ὁ Δ πρὸς τὸν Ζ. ἐπεὶ γὰρ οἱ Α, Η, Β ἑξῆς ἀνάλογόν εἰσιν, ὁ Α πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἥπερ πρὸς τὸν Η. καί ἐστιν ὡς ὁ Α πρὸς τὸν Η, οὕτως ὅ τε Γ πρὸς τὸν Ε καὶ ὁ Δ πρὸς τὸν Ζ. καὶ ὁ Α ἄρα πρὸς τὸν Β διπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Ε ἢ ὁ Δ πρὸς τὸν Ζ· ὅπερ ἔδει δεῖξαι.

ιθ′.

Δύο ὁμοίων στερεῶν ἀριθμῶν δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί· καὶ ὁ στερεὸς πρὸς τὸν ὅμοιον στερεὸν τριπλασίονα λόγον ἔχει ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν.

Ἔστωσαν δύο ὅμοιοι στερεοὶ οἱ Α, Β, καὶ τοῦ μὲν Α πλευραὶ ἔστωσαν οἱ Γ, Δ, Ε, τοῦ δὲ Β οἱ Ζ, Η, Θ. καὶ ἐπεὶ ὅμοιοι στερεοί εἰσιν οἱ ἀνάλογον ἔχοντες τὰς πλευράς, ἔστιν ἄρα ὡς μὲν ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η, ὡς δὲ ὁ Δ πρὸς τὸν Ε, οὕτως ὁ Η πρὸς τὸν Θ. λέγω, ὅτι τῶν Α, Β δύο μέσοι ἀνάλογον ἐμπίπτουσιν ἀριθμοί, καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ.

Ὁ Γ γὰρ τὸν Δ πολλαπλασιάσας τὸν Κ ποιείτω, ὁ δὲ Ζ τὸν Η πολλαπλασιάσας τὸν Λ ποιείτω. καὶ

---

4. *τόν*] *τήν* P. 6. *τόν*] (alt.) corr. ex *τό* m. 2 P. 8. *ἄρα διπλασίονα λόγον ἔχει πρὸς τὸν Β* Vφ. ὁ *Γ*] *ὅ τε Γ* PBVφ; corr. ed. Basil. 11. *μέσοι*] *ὅμοιοι* V (corr. m. rec.), φ. 16. *οἱ*] *ἀριθμοὶ οἱ* φ, Vm. 2. 17. *μέν*] om. B, supra m.

Iam dico, esse etiam $A : B = \Gamma^2 : E^2 = \Delta^2 : Z^2$. nam quoniam A, H, B deinceps proportionales sunt, erit [V def. 9] $A : B = A^2 : H^2$.


et $A : H = \Gamma : E = \Delta : Z$.

quare etiam $A : B = \Gamma^2 : E^2 = \Delta^2 : Z^2$; quod erat demonstrandum.

XIX.

Inter duos similes numeros solidos duo medii proportionales numeri interponuntur; et solidus ad solidum similem triplicatam rationem habet quam latera correspondentia.

Sint duo solidi similes A, B et numeri A latera sint Γ, Δ, E, numeri B autem Z, H, Θ. et quoniam



similes solidi ii sunt, qui latera proportionalia habent [VII def. 21], erit $\Gamma : \Delta = Z : H$, $\Delta : E = H : \Theta$. dico, inter A, B duos medios proportionales numeros interponi, et esse $A : B = \Gamma^3 : Z^3 = \Delta^3 : H^3 = E^3 : \Theta^3$.

sit enim $\Gamma \times \Delta = K$, $Z \times H = \Lambda$. et quoniam

---

2 V. 18. ἀριθμοὶ οἱ V φ. 19. μὲν ὁ] ὁ μέν V φ, ὁ B.
24. καί] (prius) om. B, mg. ἤ. ἔτι] ἐστι φ.

ἐπεὶ οἱ Γ, Δ τοῖς Ζ, Η ἐν τῷ αὐτῷ λόγῳ εἰσίν, καὶ ἐκ μὲν τῶν Γ, Δ ἐστιν ὁ Κ, ἐκ δὲ τῶν Ζ, Η ὁ Λ, οἱ Κ, Λ [ἄρα] ὅμοιοι ἐπίπεδοί εἰσιν ἀριθμοί· τῶν Κ, Λ ἄρα εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμός. ἔστω ὁ Μ. ὁ Μ ἄρα ἐστὶν ὁ ἐκ τῶν Δ, Ζ, ὡς ἐν τῷ πρὸ τούτου θεωρήματι ἐδείχθη. καὶ ἐπεὶ ὁ Δ τὸν μὲν Γ πολλαπλασιάσας τὸν Κ πεποίηκεν, τὸν δὲ Ζ πολλαπλασιάσας τὸν Μ πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Γ πρὸς τὸν Ζ, οὕτως ὁ Κ πρὸς τὸν Μ. ἀλλ' ὡς ὁ Κ πρὸς τὸν Μ, ὁ Μ πρὸς τὸν Λ. οἱ Κ, Μ, Λ ἄρα ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Γ πρὸς τὸν Ζ λόγῳ. καὶ ἐπεί ἐστιν ὡς ὁ Γ πρὸς τὸν Δ, οὕτως ὁ Ζ πρὸς τὸν Η, ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ Γ πρὸς τὸν Ζ, οὕτως ὁ Δ πρὸς τὸν Η. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς ὁ Δ πρὸς τὸν Η, οὕτως ὁ Ε πρὸς τὸν Θ. οἱ Κ, Μ, Λ ἄρα ἑξῆς εἰσιν ἀνάλογον ἔν τε τῷ τοῦ Γ πρὸς τὸν Ζ λόγῳ καὶ τῷ τοῦ Δ πρὸς τὸν Η καὶ ἔτι τῷ τοῦ Ε πρὸς τὸν Θ. ἑκατερος δὴ τῶν Ε, Θ τὸν Μ πολλαπλασιάσας ἑκάτερον τῶν Ν, Ξ ποιείτω. καὶ ἐπεὶ στερεός ἐστιν ὁ Α, πλευραὶ δὲ αὐτοῦ εἰσιν οἱ Γ, Δ, Ε, ὁ Ε ἄρα τὸν ἐκ τῶν Γ, Δ πολλαπλασιάσας τὸν Α πεποίηκεν. ὁ δὲ ἐκ τῶν Γ, Δ ἐστιν ὁ Κ· ὁ Ε ἄρα τὸν Κ πολλαπλασιάσας τὸν Α πεποίηκεν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ Θ τὸν Λ πολλαπλασιάσας τὸν Β πεποίηκεν. καὶ ἐπεὶ ο Ε τὸν Κ πολλαπλασιάσας τὸν Α πεποίηκεν, ἀλλὰ μὴν καὶ τὸν Μ πολλαπλασιάσας τὸν Ν πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Κ πρὸς τὸν Μ, οὕτως ὁ Α πρὸς τὸν Ν. ὡς δὲ ὁ Κ πρὸς τὸν Μ, οὕτως ὅ τε Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ· καὶ ὡς ἄρα ο

1. οἱ] corr. ex ὁ m. 2 P. εἰσί V φ. 3. ἄρα] om. P.

Γ, Δ et Z, H in eadem ratione sunt, et $\Gamma \times \Delta = K$, $Z \times H = \Lambda$, numeri K, Λ similes plani sunt [VII def. 21]. itaque inter K, Λ unus medius est proportionalis numerus [prop. XVIII]. sit M. itaque $M = \Delta \times Z$, ut in propositione praecedenti demonstratum est [p. 318, 15; 26]. et quoniam

$\Delta \times \Gamma = K$ et $\Delta \times Z = M$, erit $\Gamma : Z = K : M$ [VII, 17]. uerum $K : M = M : \Lambda$. itaque K, M, Λ deinceps proportionales sunt in ratione $\Gamma : Z$. et quoniam est $\Gamma : \Delta = Z : H$, permutando erit

$$\Gamma : Z = \Delta : H \text{ [VII, 13].}$$

eadem de causa erit etiam $\Delta : H = E : \Theta$. itaque K, M, Λ deinceps proportionales sunt in rationibus $\Gamma : Z$, $\Delta : H$, $E : \Theta$. iam sit $E \times M = N$ et $\Theta \times M = \Xi$. et quoniam A solidus est, et latera eius sunt Γ, Δ, E, erit $E \times \Gamma \times \Delta = A$. uerum $\Gamma \times \Delta = K$. itaque $E \times K = A$. eadem de causa etiam $\Theta \times \Delta = B$. et quoniam $E \times K = A$, et $E \times M = N$, erit $K : M = A : N$ [VII, 17]. uerum

$$K : M = \Gamma : Z = \Delta : H = E : \Theta.$$

---

6. Post *ἐδείχθη* add. Vφ: *ἔστιν ἄρα* (*ἔτι* φ) *ὡς ὁ K πρὸς τὸν M, ὁ M πρὸς τὸν Λ*; idem B mg. m. 2. 7. *πεποίηκε* Vφ. 9. *ἀλλ' ὡς ὁ K πρὸς τὸν M*] mg. φ. 10. *ὁ*] *οὕτως ὁ* Vφ. 11. *εἰσιν*] om. P, supra m. 1 V. 14. *διὰ τὰ αὐτὰ δὴ καί*] P; *πάλιν ἐπεί ἐστιν ὡς ὁ Δ πρὸς τὸν E, οὕτως ὁ H πρὸς τὸν Θ, ἐναλλὰξ ἄρα ἐστίν* Theon (BVφ). 16. *K, Λ, M* Vφ. *ἄρα*] *ἔτι* φ. *ἀνάλογόν εἰσιν* Vφ. 17. *λόγῳ*] om. Vφ. *τῷ*] om. Vφ. 21. *Γ*] (prius) eras. V. 22. *Δ*] seq. in P: *πολλαπλασιάσας*, sed delet. 23. *πεποίηκε* Vφ. 24. Post *πολλαπλασιάσας* add. Theon: *τὸν ἐκ τῶν Z, H* (BVφ). 25. *πεποίηκε* Vφ. 30. *ἔτι*] corr. ex *ὅτι* m. 1 P; *ἔστιν* φ, mg. *ἔτι*. *καὶ ὡς*] *ὡς* BVφ.

Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ὁ Ε πρὸς τὸν Θ, οὕτως ὁ Α πρὸς τὸν Ν. πάλιν, ἐπεὶ ἑκάτερος τῶν Ε, Θ τὸν Μ πολλαπλασιάσας ἑκάτερον τῶν Ν, Ξ πεποίηκεν, ἔστιν ἄρα ὡς ο Ε πρὸς τὸν Θ, οὕτως ὁ Ν πρὸς τὸν Ξ. ἀλλ᾽ ὡς ὁ Ε πρὸς τὸν Θ, οὕτως ὅ τε Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η· καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ὁ Ε πρὸς τὸν Θ, οὕτως ὅ τε Α πρὸς τὸν Ν καὶ ὁ Ν πρὸς τὸν Ξ. πάλιν, ἐπεὶ ὁ Θ τὸν Μ πολλαπλασιάσας τὸν Ξ πεποίηκεν, ἀλλὰ μὴν καὶ τὸν Λ πολλαπλασιάσας τὸν Β πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ Μ πρὸς τὸν Λ, οὕτως ὁ Ξ πρὸς τὸν Β. ἀλλ᾽ ὡς ὁ Μ πρὸς τὸν Λ, οὕτως ὅ τε Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ὁ Ε πρὸς τὸν Θ. καὶ ὡς ἄρα ὁ Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ὁ Ε πρὸς τὸν Θ, οὕτως οὐ μόνον ὁ Ξ πρὸς τὸν Β, ἀλλὰ καὶ ὁ Α πρὸς τὸν Ν καὶ ὁ Ν πρὸς τὸν Ξ. οἱ Α, Ν, Ξ, Β ἄρα ἑξῆς εἰσιν ἀνάλογον ἐν τοῖς εἰρημένοις τῶν πλευρῶν λόγοις.

Λέγω, ὅτι καὶ ὁ Α πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ἡ ὁμόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν, τουτέστιν ἥπερ ὁ Γ ἀριθμὸς πρὸς τὸν Ζ ἢ ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ. ἐπεὶ γὰρ τέσσαρες ἀριθμοὶ ἑξῆς ἀνάλογόν εἰσιν οἱ Α, Ν, Ξ, Β, ὁ Α ἄρα πρὸς τὸν Β τριπλασίονα λόγον ἔχει ἥπερ ὁ Α πρὸς τὸν Ν. ἀλλ᾽ ὡς ὁ Α πρὸς τὸν Ν, οὕτως ἐδείχθη ὅ τε Γ πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ. καὶ ὁ Α ἄρα πρὸς τὸν

---

2. *N*] corr. ex *K* V. 6. Post *H* add. P: *καὶ ὁ Ε πρὸς τὸν Θ.* *καὶ ὡς — 8: τὸν Θ*] del. P et m. 1 et m. 2. 8. *τε*] om. P. 9. *Ξ*] Z *φ*. 14. *Θ. καί ὡς ἄρα ὁ Γ πρὸς τόν*]

quare etiam erit $\Gamma : Z = \Delta : H = E : \Theta = A : N$.
rursus quoniam est $E \times M = N$ et $\Theta \times M = \Xi$,
erit $E : \Theta = N : \Xi$ [VII, 18]. uerum

$$E : \Theta = \Gamma : Z = \Delta : H.$$

quare etiam $\Gamma : Z = \Delta : H = E : \Theta = A : N = N : \Xi$.
rursus quoniam est $\Theta \times M = \Xi$ et $\Theta \times \Lambda = B$,
erit $M : \Lambda = \Xi : B$ [VII, 17]. uerum

$$M : \Lambda = \Gamma : Z = \Delta : H = E : \Theta.$$

quare etiam

$$\Gamma : Z = \Delta : H = E : \Theta = \Xi : B = A : N = N : \Xi.$$

itaque A, N, Ξ, B deinceps proportionales sunt in rationibus laterum, quas indicauimus.

Dico, esse etiam

$$A : B = \Gamma^3 : Z^3 = \Delta^3 : H^3 = E^3 : \Theta^3.$$

nam quoniam quattuor numeri deinceps proportionales sunt, A, N, Ξ, B, erit $A : B = A^3 : N^3$ [V def. 10]. uerum $A : N = \Gamma : Z = \Delta : H = E : \Theta$, ut demon-

---

mg. φ. 16. Ξ] Z φ. 17. Ξ] corr. ex Z φ. 22. πλεῖρά ν φ. 28. ἄρα] om. φ, πρός V.

Β τριπλασίονα λόγον ἔχει ἥπερ ἡ ομόλογος πλευρὰ πρὸς τὴν ὁμόλογον πλευράν, τουτέστιν ἥπερ ὁ Γ ἀριθμὸς πρὸς τὸν Ζ καὶ ὁ Δ πρὸς τὸν Η καὶ ἔτι ὁ Ε πρὸς τὸν Θ· ὅπερ ἔδει δεῖξαι.

κ΄.

Ἐὰν δύο ἀριθμῶν εἷς μέσος ἀνάλογον ἐμπίπτῃ ἀριθμός, ὅμοιοι ἐπίπεδοι ἔσονται οἱ ἀριθμοί.

Δύο γὰρ ἀριθμῶν τῶν Α, Β εἷς μέσος ἀνάλογον ἐμπιπτέτω ἀριθμὸς ὁ Γ· λέγω, ὅτι οἱ Α, Β ὅμοιοι ἐπίπεδοί εἰσιν ἀριθμοί.

Εἰλήφθωσαν [γὰρ] ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Α, Γ οἱ Δ, Ε· ἰσάκις ἄρα ὁ Δ τὸν Α μετρεῖ καὶ ὁ Ε τὸν Γ. ὁσάκις δὴ ὁ Δ τὸν Α μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ζ· ὁ Ζ ἄρα τὸν Δ πολλαπλασιάσας τὸν Α πεποίηκεν. ὥστε ὁ Α ἐπίπεδός ἐστιν, πλευραὶ δὲ αὐτοῦ οἱ Δ, Ζ. πάλιν, ἐπεὶ οἱ Δ, Ε ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Γ, Β, ἰσάκις ἄρα ὁ Δ τὸν Γ μετρεῖ καὶ ὁ Ε τὸν Β. ὁσάκις δὴ ὁ Ε τὸν Β μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Η. ὁ Ε ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν τῷ Η μονάδας· ὁ Η ἄρα τὸν Ε πολλαπλασιάσας τὸν Β πεποίηκεν. ὁ Β ἄρα

---

1. *πλευρὰ πρὸς τὴν ὁμόλογον*] mg. φ. 6. *ἐμπίπτει* V, corr. m. 1. 9. *μέσον* B. *ἀνάλογον*] om. BVφ. In B supra scr. m. 2: *εἷς μέσος ἀνάλογον ἐμπιπτέτω ὁ Γ ἀριθμός, ὡς ὁ Α πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν Β.* 12. *γάρ*] om. P. 13. *Α, Γ*] *Α, Γ, Β* Bφ, et V deleto *Β*. Post *Ε* in Vφ add. *ἔστιν ἄρα ὡς ὁ Δ πρὸς τὸν Ε, ὁ Α πρὸς τὸν Γ. ὡς δὲ ὁ Α πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν Β* (Θ φ). *καὶ ὡς ἄρα ὁ Δ πρὸς τὸν Ε, ὁ Γ πρὸς τὸν Β*; idem B mg. m. 2 (*δή* pro *δέ*). 16. *πε-*

strauimus. quare etiam


$$A : B = \Gamma^3 : Z^3 = \Delta^3 : H^3 = E^3 : \Theta^3;$$

quod erat demonstrandum.

XX.

Si inter duos numeros unus medius proportionalis interponitur numerus, numeri plani similes erunt.

Nam inter duos numeros A, B unus medius proportionalis interponatur numerus Γ. dico, A, B esse similes numeros planos.



sumantur Δ, E minimi numeri eorum, qui eandem rationem habent ac A, Γ [VII, 33]. itaque Δ numerum A et E numerum Γ aequaliter metitur [VII, 20]. iam quoties Δ numerum A metitur, tot unitates sint in Z. itaque $Z \times \Delta = A$ [VII def. 15]. quare A planus est, latera autem eius Δ, Z. rursus quoniam Δ, E minimi sunt eorum, qui eandem rationem habent ac Γ, B[1]), Δ numerum Γ et E numerum B aequaliter metitur [VII, 20]. iam quoties E numerum B metitur, tot unitates sint in H. itaque E numerum B metitur secundum unitates numeri H. itaque $H \times E = B$ [VII def. 15]. itaque B planus

1) Nam $A : \Gamma = \Gamma : B$.

ποίηκε Vφ. Seq. in Vφ: *τὸν δὲ E πολλαπλασιάσας τὸν Γ πεποίηκεν*; idem B m. 2. 17. *ἐστι* Vφ. 18. *εἰσιν* P. 19. *Γ, B*] *B, Γ* φ. 20. *δή*] *δέ* P, et B (corr. m. 1). 21. *ἕστωσαν*] bis φ, sed corr. *ὁ E*] e corr. V, *καὶ ὁ E* P.

ἐπίπεδός ἐστι, πλευραὶ δὲ αὐτοῦ εἰσιν οἱ *E*, *H*. οἱ *A*, *B* ἄρα ἐπίπεδοί εἰσιν ἀριθμοί. λέγω δή, ὅτι καὶ ὅμοιοι. ἐπεὶ γὰρ ὁ *Z* τὸν μὲν *Δ* πολλαπλασιάσας τὸν *A* πεποίηκεν, τὸν δὲ *E* πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Δ* πρὸς τὸν *E*, οὕτως ὁ *A* πρὸς τὸν *Γ*, τουτέστιν ὁ *Γ* πρὸς τὸν *B*. πάλιν, ἐπεὶ ὁ *E* ἑκάτερον τῶν *Z*, *H* πολλαπλασιάσας τοὺς *Γ*, *B* πεποίηκεν, ἔστιν ἄρα ὡς ὁ *Z* πρὸς τὸν *H*, οὕτως ὁ *Γ* πρὸς τὸν *B*. ὡς δὲ ὁ *Γ* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *E*· καὶ ὡς ἄρα ὁ *Δ* πρὸς τὸν *E*, οὕτως ὁ *Z* πρὸς τὸν *H*. καὶ ἐναλλὰξ ὡς ὁ *Δ* πρὸς τὸν *Z*, οὕτως ὁ *E* πρὸς τὸν *H*. οἱ *A*, *B* ἄρα ὅμοιοι ἐπίπεδοι ἀριθμοί εἰσιν· αἱ γὰρ πλευραὶ αὐτῶν ἀνάλογόν εἰσιν· ὅπερ ἔδει δεῖξαι.

κα'.

Ἐὰν δύο ἀριθμῶν δύο μέσοι ἀνάλογον ἐμπίπτωσιν ἀριθμοί, ὅμοιοι στερεοί εἰσιν οἱ ἀριθμοί.

Δύο γὰρ ἀριθμῶν τῶν *A*, *B* δύο μέσοι ἀνάλογον ἐμπιπτέτωσαν ἀριθμοὶ οἱ *Γ*, *Δ*· λέγω, ὅτι οἱ *A*, *B* ὅμοιοι στερεοί εἰσιν.

Εἰλήφθωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς *A*, *Γ*, *Δ* τρεῖς οἱ *E*, *Z*, *H*· οἱ ἄρα ἄκροι αὐτῶν οἱ *E*, *H* πρῶτοι πρὸς ἀλλήλους εἰσίν. καὶ ἐπεὶ τῶν *E*, *H* εἷς μέσος ἀνάλογον ἐμπέπτωκεν ἀριθμὸς ὁ *Z*, οἱ *E*, *H* ἄρα ἀριθμοὶ ὅμοιοι

---

1. ἐπίπεδος] in ras. φ. 3. ἐπεὶ γάρ — 4: *Γ πεποίηκεν*] del. B; ἐπεὶ γὰρ ἑκάτερον (ex ἑκάτερος V) τῶν *Δ*, *E* ὁ *Z* (*Δ*, *E* ὁ *Z* in ras. V) πολλαπλασιάσας ἑκάτερον τῶν *A*, *Γ* (in ras. V) πεποίηκεν V φ; ἐπεὶ γὰρ ἑκάτερος τῶν *Z*, *H* τὸν *E* πολλαπλασιάσας ἑκάτερον τῶν *Γ*, *B* πεποίηκεν mg. B. In P mg. m. 1

est, et latera eius sunt E, H. ergo A, B plani sunt numeri.

Iam dico, eos etiam similes esse. nam quoniam est $Z \times \Delta = A$ et $Z \times E = \Gamma$[1]), erit

$$\Delta : E = A : \Gamma = \Gamma : B.$$

rursus quoniam $E \times Z = \Gamma$, $E \times H = B$, erit $Z : H = \Gamma : B$ [VII, 17]. uerum $\Gamma : B = \Delta : E$. quare etiam $\Delta : E = Z : H$. et permutando $\Delta : Z = E : H$ [VII, 13]. ergo A, B similes sunt numeri plani; latera enim eorum proportionalia sunt [VII def. 21]; quod erat demonstrandum.

XXI.

Si inter duos numeros duo medii proportionales numeri interponuntur, numeri similes sunt solidi.

Nam inter duos numeros A, B duo medii proportionales interponantur numeri Γ, Δ. dico, numeros A, B similes esse solidos.


sumantur enim E, Z, H numeri minimi eorum, qui in eadem ratione sunt ac A, Γ, Δ [prop. II]. itaque extremi eorum E, H inter se primi sunt [prop. III]. et quoniam inter E, H unus medius proportionalis interponitur numerus Z, numeri E, H similes plani

1) Nam $\Delta : A = 1 : Z = E : \Gamma$.

---

add. ∴ *ἰσάκις ἄρα ὁ Δ τὸν A μετρεῖ καὶ ὁ E τὸν Γ* (signo ∴ nullum in textu respondit). 5. *ὡς*] om. P. 7. *ἑκάτερον τῶν* Z, *H ὁ E* Vφ. Z, *H πολλαπλασιάσας τούς*] om. B. *τούς*] *ἑκάτερον τῶν* Vφ. 10. *καὶ ὡς — E*] mg. φ. *ἄρα*] om. P. 11. *καὶ ἐναλλάξ — 12: τὸν H*] om. Theon (BVφ). 13. *εἰσιν ἀριθμοί* P. 16. *ἐμπίπτουσιν* φ, sed corr. 17. *ἀριθμοὶ, ὅμοιοι*] bis φ. *οἱ*] om. P. 20. *Γ, Δ*] *Δ, Γ* φ. *λέγω γάρ* V, deleto *γάρ*. 23. *Δ*] *Δ, B* Vφ. 25. *εἰσί* Vφ. *ἀνάλογος* P. 26. *ὁ* Z] om. φ.

ἐπίπεδοί εἰσιν. ἔστωσαν οὖν τοῦ μὲν E πλευραὶ οἱ Θ, K, τοῦ δὲ H οἱ Λ, M. φανερὸν ἄρα ἐστὶν ἐκ τοῦ πρὸ τούτου, ὅτι οἱ E, Z, H ἑξῆς εἰσιν ἀνάλογον ἔν



τε τῷ τοῦ Θ πρὸς τὸν Λ λόγῳ καὶ τῷ τοῦ K πρὸς τὸν M. καὶ ἐπεὶ οἱ E, Z, H ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς A, Γ, Δ, καί ἐστιν ἴσον τὸ πλῆθος τῶν E, Z, H τῷ πλήθει τῶν A, Γ, Δ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ E πρὸς τὸν H, οὕτως ὁ A πρὸς τὸν Δ. οἱ δὲ E, H πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας αὐτοῖς ἰσάκις ὅ τε μείζων τὸν μείζονα καὶ ὁ ἐλάσσων τὸν ἐλάσσονα, τουτέστιν ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· ἰσάκις ἄρα ὁ E τὸν A μετρεῖ καὶ ὁ H τὸν Δ. ὁσάκις δὴ ὁ E τὸν A μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ N. ὁ N ἄρα τὸν E πολλαπλασιάσας τὸν A πεποίηκεν. ὁ δὲ E ἐστιν ὁ ἐκ τῶν Θ, K· ὁ N ἄρα τὸν ἐκ τῶν Θ, K πολλαπλασιάσας τὸν A πεποίηκεν. στερεὸς ἄρα ἐστὶν ὁ A, πλευραὶ δὲ αὐτοῦ εἰσιν οἱ Θ, K, N. πάλιν, ἐπεὶ οἱ E, Z, H ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς Γ, Δ, B, ἰσάκις ἄρα ὁ E τὸν Γ μετρεῖ καὶ ὁ H τὸν B. ὁσάκις δὴ ὁ E

2. τοῦ πρό] om. BVφ. 3. ἀνάλογόν εἰσιν Vφ. 4.

sunt [prop. XX]. sint Θ, K latera numeri E, et Λ, M latera numeri H. itaque ex praecedenti propositione manifestum est, numeros E, Z, H deinceps proportionales esse in ratione $\Theta : \Lambda$ et $K : M$.[1]) et quoniam E, Z, H minimi[2]) sunt eorum, qui eandem rationem habent ac A, Γ, Δ, et multitudo numerorum E, Z, H aequalis est multitudini numerorum A, Γ, Δ, ex aequo erit $E : H = A : \Delta$ [VII, 14]. sed E, H primi sunt, primi autem etiam minimi [VII, 21], minimi autem eos, qui eandem rationem habent, aequaliter metiuntur, maior maiorem et minor minorem [VII, 20], h. e. praecedens praecedentem et sequens sequentem. itaque E numerum A et H numerum Δ aequaliter metitur. iam quoties E numerum A metitur, tot unitates sint in N. itaque $N \times E = A$ [VII def. 15]. uerum $E = \Theta \times K$. itaque

$$N \times \Theta \times K = A.$$

ergo A solidus est, latera autem eius Θ, K, N. rursus quoniam E, Z, H minimi sunt eorum, qui eandem rationem habent ac Γ, Δ, B[3]), E numerum Γ et H numerum B aequaliter metitur [VII, 20]. iam quoties

---

1) Nam in prop. 20 demonstratum est
$$A : \Gamma = \Gamma : B = \Delta : E = Z : H.$$
2) Hoc solum utitur, quod numeri E, Z, H et A, Γ, Δ proportionales sunt.
3) Nam $A : \Gamma = \Gamma : \Delta = \Delta : B = E : Z = Z : H$, et E, Z, H minimi sunt in ratione $A : \Gamma$ et $\Gamma : \Delta$.

τόν] om. B. 5. *τόν*] om. B. *εἰσιν* P. 6. *καί ἐστιν — 7: A, Γ, Δ*] om. Theon (B V φ). 15. *δή*] *δέ* V φ. 18. *πεποίηκε* V φ. 20. *N*] in ras. V. 22. *H*] in ras. φ. *δή*] *δέ* B V φ.

τὸν Γ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Ξ. ὁ Η ἄρα τὸν Β μετρεῖ κατὰ τὰς ἐν τῷ Ξ μονάδας· ὁ Ξ ἄρα τὸν Η πολλαπλασιάσας τὸν Β πεποίηκεν. ὁ δὲ Η ἐστιν ὁ ἐκ τῶν Λ, Μ· ὁ Ξ ἄρα τὸν ἐκ τῶν Λ, Μ πολλαπλασιάσας τὸν Β πεποίηκεν. στερεὸς ἄρα ἐστὶν ὁ Β, πλευραὶ δὲ αὐτοῦ εἰσιν οἱ Λ, Μ, Ξ· οἱ Α, Β ἄρα στερεοί εἰσιν.

Λέγω [δή], ὅτι καὶ ὅμοιοι. ἐπεὶ γὰρ οἱ Ν, Ξ τὸν Ε πολλαπλασιάσαντες τοὺς Α, Γ πεποιήκασιν, ἔστιν ἄρα ὡς ὁ Ν πρὸς τὸν Ξ, ὁ Α πρὸς τὸν Γ, τουτέστιν ὁ Ε πρὸς τὸν Ζ. ἀλλ᾽ ὡς ὁ Ε πρὸς τὸν Ζ, ο Θ πρὸς τὸν Λ καὶ ὁ Κ πρὸς τὸν Μ· καὶ ὡς ἄρα ὁ Θ πρὸς τὸν Λ, οὕτως ο Κ πρὸς τὸν Μ καὶ ο Ν πρὸς τὸν Ξ. καί εἰσιν οἱ μὲν Θ, Κ, Ν πλευραὶ τοῦ Α, οἱ δὲ Ξ, Λ, Μ πλευραὶ τοῦ Β. οἱ Α, Β ἄρα ἀριθμοὶ ὅμοιοι στερεοί εἰσιν· ὅπερ ἔδει δεῖξαι.

κβ′.

Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν, ο δὲ πρῶτος τετράγωνος ᾖ, καὶ ο τρίτος τετράγωνος ἔσται.

Ἔστωσαν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α, Β, Γ, ο δὲ πρῶτος ὁ Α τετράγωνος ἔστω· λέγω, ὅτι καὶ ὁ τρίτος ὁ Γ τετράγωνός ἐστιν.

Ἐπεὶ γὰρ τῶν Α, Γ εἷς μέσος ἀνάλογόν ἐστιν ἀριθμὸς ὁ Β, οἱ Α, Γ ἄρα ὅμοιοι ἐπίπεδοί εἰσιν. τετράγωνος δὲ ὁ Α· τετράγωνος ἄρα καὶ ο Γ· ὅπερ ἔδει δεῖξαι.

---

2. ὁ] καὶ ὁ P. κατά] insert. postea V. 4. τόν] corr. ex τῶν V. 5. πεποίηκε Vφ. Seq. in Vφ: τὸν δὲ Ε πολλαπλασιάσας τὸν Γ πεποίηκε; idem B m. 2. 7. εἰσι Vφ. 8.

ulli numerorum A, B, Γ aequalis sit. manifestum est igitur, E primum non esse. nam si E primus est et numerum Δ metitur, etiam numerum A metietur [prop. XII], qui primus est, quamquam ei aequalis non est; quod fieri non potest. itaque E primus non est. compositus igitur. quemuis autem numerum compositum primus aliquis numerus metitur [VII, 32]. itaque numerum E primus aliquis numerus metitur. dico, nullum alium E numerum metiri praeter A. nam si alius numerum E metitur, E autem numerum Δ metitur, ille quoque numerum Δ metietur. quare etiam numerum A metietur, qui primus est [prop. XII], quamquam ei aequalis non est[1]); quod fieri non potest. itaque A numerum E metitur. et quoniam E numerum Δ metitur, secundum Z metiatur. dico, Z nulli numerorum A, B, Γ aequalem esse. nam si Z alicui numerorum A, B, Γ aequalis est, et numerum Δ secundum E metitur, etiam aliquis numerorum A, B, Γ numerum Δ secundum E metitur. uerum quiuis numerorum A, B, Γ numerum Δ secundum aliquem numerorum A, B, Γ metitur [prop. XI]. quare E alicui numerorum A, B, Γ aequalis est; quod est contra hypothesim. ergo Z nulli numerorum A, B, Γ aequalis est. similiter demonstrabimus, numerum A numerum Z metiri, rursus demonstrantes, numerum Z primum non esse. nam si primus est et numerum Δ metitur, etiam A metietur [prop. XII], qui primus est, quamquam ei aequalis non est; quod

1) Nam si numerus numeros E, Δ metiens alicui numerorum A, B, Γ aequalis esset, constaret propositum. idem de p. 370, 8 dicendum.

νατον· οὐκ ἄρα πρῶτός ἐστιν ὁ Z· σύνθετος ἄρα. ἅπας δὲ σύνθετος ἀριθμὸς ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται· ὁ Z ἄρα ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. λέγω δή, ὅτι ὑφ' ἑτέρου πρώτου οὐ μετρηθήσεται πλὴν τοῦ A. εἰ γὰρ ἕτερός τις πρῶτος τὸν Z μετρεῖ, ὁ δὲ Z τὸν Δ μετρεῖ, κἀκεῖνος ἄρα τὸν Δ μετρήσει· ὥστε καὶ τὸν A μετρήσει πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἐστὶν ἀδύνατον. ὁ A ἄρα τὸν Z μετρεῖ. καὶ ἐπεὶ ὁ E τὸν Δ μετρεῖ κατὰ τὸν Z, ὁ E ἄρα τὸν Z πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ A τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν A, Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν E, Z. ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ A πρὸς τὸν E, οὕτως ὁ Z πρὸς τὸν Γ. ὁ δὲ A τὸν E μετρεῖ· καὶ ὁ Z ἄρα τὸν Γ μετρεῖ. μετρείτω αὐτὸν κατὰ τὸν H. ὁμοίως δὴ δείξομεν, ὅτι ὁ H οὐδενὶ τῶν A, B ἐστιν ὁ αὐτός, καὶ ὅτι μετρεῖται ὑπὸ τοῦ A. καὶ ἐπεὶ ὁ Z τὸν Γ μετρεῖ κατὰ τὸν H, ὁ Z ἄρα τὸν H πολλαπλασιάσας τὸν Γ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ A τὸν B πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ αρα ἐκ τῶν A, B ἴσος ἐστὶ τῷ ἐκ τῶν Z, H. ἀνάλογον ἄρα ὡς ὁ A πρὸς τὸν Z, ὁ H πρὸς τὸν B. μετρεῖ δὲ ὁ A τὸν Z· μετρεῖ ἄρα καὶ ὁ H τὸν B. μετρείτω αὐτὸν κατὰ τὸν Θ. ὁμοίως δὴ δείξομεν, ὅτι ὁ Θ τῷ A οὐκ ἔστιν ὁ αὐτός. καὶ ἐπεὶ ὁ H τὸν B μετρεῖ κατὰ τὸν Θ, ὁ H ἄρα τὸν Θ πολλαπλασιάσας τὸν B πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ A ἑαυτὸν πολ-

---

2. *ἅπας δέ* — 3: *μετρεῖται*] om. Theon (BVφ). 3. *ὁ Z ἄρα ὑπὸ πρώτου*] *ὁ ἄρα Z ὑπὸ πρώτου* Vφ; *ὑπὸ πρώτου ἄρα* B. 4. *οὐ*] insert. m. 1 B. 6. *δέ* Z] corr. ex Z *ἄρα* m. 2 V. Z] in ras. P. Δ] in ras. P. 7. Δ] seq. ras.

fieri non potest. ergo Z primus non est. compositus igitur. quemuis autem numerum compositum primus aliquis numerus metitur [VII, 32]. itaque numerum Z primus aliquis numerus metitur. dico, nullum alium eum metiri praeter A. nam si alius numerus primus numerum Z metitur, et Z numerum Δ metitur, ille quoque numerum Δ metietur. quare etiam numerum A metietur [prop. XII], qui primus est, quamquam ei aequalis non est; quod fieri non potest. ergo A numerum Z metitur. et quoniam E numerum Δ secundum Z metitur, erit $E \times Z = \Delta$. uerum etiam $A \times \Gamma = \Delta$ [prop. XI]. itaque $A \times \Gamma = E \times Z$. itaque $A : E = Z : \Gamma$ [VII, 19]. uerum A numerum E metitur. itaque etiam Z numerum Γ metitur. metietur secundum H. similiter demonstrabimus, numerum H nulli numerorum A, B aequalem esse, et numerum A eum metiri. et quoniam Z numerum Γ secundum H metitur, erit $Z \times H = \Gamma$. uerum etiam $A \times B = \Gamma$ [prop. XI]. itaque $A \times B = Z \times H$. quare $A : Z = H : B$ [VII, 19]. uerum A numerum Z metitur. itaque etiam H numerum B metitur. metietur secundum Θ. similiter demonstrabimus, numerum Θ numero A aequalem non esse. et quoniam H numerum B secundum Θ metitur, erit

$$H \times \Theta = B.$$

---

1 litt. φ. 12. *ἐστίν* P. 15. *μετρεῖ*] insert. m. 2 B. 16. *οὐδετέρῳ* Theon (B V φ). 21. *ἐστίν* P. 22. *A*] in ras. V.

λαπλασιάσας τὸν *B* πεποίηκεν· ὁ ἄρα ὑπὸ *Θ*, *H* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *A* τετραγώνῳ. ἔστιν ἄρα ὡς ὁ *Θ* πρὸς τὸν *A*, ὁ *A* πρὸς τὸν *H*. μετρεῖ δὲ ὁ *A* τὸν *H*· μετρεῖ ἄρα καὶ ὁ *Θ* τὸν *A* πρῶτον ὄντα μὴ ὢν αὐτῷ ὁ αὐτός· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ μέγιστος ὁ *Δ* ὑπὸ ἑτέρου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν *A*, *B*, *Γ*· ὅπερ ἔδει δεῖξαι.

ιδ′.

Ἐὰν ἐλάχιστος ἀριθμὸς ὑπὸ πρώτων ἀριθμῶν μετρῆται, ὑπ᾽ οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν ἐξ ἀρχῆς μετρούντων.

Ἐλάχιστος γὰρ ἀριθμὸς ὁ *A* ὑπὸ πρώτων ἀριθμῶν τῶν *B*, *Γ*, *Δ* μετρείσθω· λέγω, ὅτι ὁ *A* ὑπ᾽ οὐδενὸς ἄλλου πρώτου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν *B*, *Γ*, *Δ*.

Εἰ γὰρ δυνατόν, μετρείσθω ὑπὸ πρώτου τοῦ *E*, καὶ ὁ *E* μηδενὶ τῶν *B*, *Γ*, *Δ* ἔστω ὁ αὐτός. καὶ ἐπεὶ ὁ *E* τὸν *A* μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν *Z*· ὁ *E* ἄρα τὸν *Z* πολλαπλασιάσας τὸν *A* πεποίηκεν. καὶ μετρεῖται ὁ *A* ὑπὸ πρώτων ἀριθμῶν τῶν *B*, *Γ*, *Δ*. ἐὰν δὲ δύο ἀριθμοὶ πολλαπλασιάσαντες ἀλλήλους ποιῶσί τινα, τὸν δὲ γενόμενον ἐξ αὐτῶν μετρῇ τις πρῶτος ἀριθμός, καὶ ἕνα τῶν ἐξ ἀρχῆς μετρήσει· οἱ *B*, *Γ*, *Δ* ἄρα ἕνα τῶν *E*, *Z* μετρήσουσιν. τὸν

---

1. ὑπό] ἐκ τῶν Theon (BVφ). 3. ὁ] (prius) supra m. 1 P. 4. τὸν *A*] τὸν τὸν *A* φ, sed corr. 7. ὅπερ ἔδει δεῖξαι] om. B. 10. πρώτου] om. B. 14. *B*] post ras. 1 litt. V. 15. παρέξ] in hoc uocabulo incipit Paris. 2344 fol. 166 (q). 19. καὶ κατά Vφ, καί del. V. 20. ἄρα τὸν Z] insert. m. 1 B. πεποίηκε Vφq. 21. ὑπό] ὑπὸ τῶν P. 22. πολυπλασιά-

uerum etiam $A \times A = B$ [prop. VIII]. itaque

$$\Theta \times H = A \times A.$$


quare erit [VII, 19] $\Theta : A = A : H$. uerum A numerum H metitur. quare etiam Θ numerum A metitur, qui primus est, quamquam ei aequalis non est; quod absurdum est. ergo maximum Δ nullus alius numerus metietur praeter[1]) A, B, Γ; quod erat demonstrandum.

XIV.

Si primi aliqui numeri numerum quendam minimum metiuntur, nullus alius primus numerus eum metietur praeter eos, qui ab initio metiuntur.

Nam primi numeri B, Γ, Δ numerum A minimum metiantur. dico, nullum alium primum numerum A numerum mensurum esse praeter B, Γ, Δ.

nam si fieri potest, metiatur primus numerus E,



neue E ulli numerorum B, Γ, Δ aequalis sit. et quoniam E numerum A metitur, secundum Z metiatur. itaque $E \times Z = A$. et numerum A primi numeri B, Γ, Δ metiuntur. sin duo numeri inter se multiplicantes numerum aliquem efficiunt, et numerum ex iis productum primus aliquis numerus metitur, etiam unum eorum, qui ab initio sumpti sunt, metietur [VII, 30]. itaque B, Γ, Δ alterutrum numerorum E,

---

1) Ii autem metiuntur propter prop. XI.

σαντες q. 23. μετρεῖ q. 25. Δ] m. 2 V. τῶν] corr. ex τῶ V. μετρήσουσι P V φ q.

μὲν οὖν *E* οὐ μετρήσουσιν· ὁ γὰρ *E* πρῶτός ἐστι καὶ οὐδενὶ τῶν *B*, *Γ*, *Δ* ὁ αὐτός. τὸν *Z* ἄρα μετροῦσιν ἐλάσσονα ὄντα τοῦ *A*· ὅπερ ἀδύνατον. ὁ γὰρ *A* ὑπόκειται ἐλάχιστος ὑπὸ τῶν *B*, *Γ*, *Δ* μετρούμενος. οὐκ ἄρα τὸν *A* μετρήσει πρῶτος ἀριθμὸς παρὲξ τῶν *B*, *Γ*, *Δ*· ὅπερ ἔδει δεῖξαι.

ιε′.

Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς, δύο ὁποιοιοῦν συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν.

Ἔστωσαν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς οἱ *A*, *B*, *Γ*· λέγω, ὅτι τῶν *A*, *B*, *Γ* δύο ὁποιοιοῦν συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν, οἱ μὲν *A*, *B* πρὸς τὸν *Γ*, οἱ δὲ *B*, *Γ* πρὸς τὸν *A* καὶ ἔτι οἱ *A*, *Γ* πρὸς τὸν *B*.

Εἰλήφθωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν λόγον ἐχόντων τοῖς *A*, *B*, *Γ* δύο οἱ *ΔE*, *EZ*. φανερὸν δή, ὅτι ὁ μὲν *ΔE* ἑαυτὸν πολλαπλασιάσας τὸν *A* πεποίηκεν, τὸν δὲ *EZ* πολλαπλασιάσας τὸν *B* πεποίηκεν, καὶ ἔτι ὁ *EZ* ἑαυτὸν πολλαπλασιάσας τὸν *Γ* πεποίηκεν. καὶ ἐπεὶ οἱ *ΔE*, *EZ* ἐλάχιστοί εἰσιν, πρῶτοι πρὸς ἀλλήλους εἰσίν. ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, καὶ συναμφότερος πρὸς ἑκάτερον πρῶτός ἐστιν· καὶ ὁ *ΔZ* ἄρα πρὸς ἑκάτερον

---


1. *μετρήσουσι* V φ; *μετροῦσιν* B. *ἐστιν* P. 2. *μετρήσουσιν* V φ. 3. *ὅπερ ἐστίν* BV φ. 7. *ιε′*] om. φ. 9. *τῶν*] om. φ. 10. *ὁποσοιοῦν* q et supra scripto *ὁποιοῦν* B. 13. *ἐχόντων λόγον* φ. 14. *λέγω, ὅτι τῶν A, B, Γ*] mg. m. 1 φ. *τῶν A, B, Γ*] om. B, m. 2 V. *δύο*] om. B. *ὁποσοιοῦν* q

Z metientur. E quidem numerum non metientur; nam E primus est nec ulli numerorum B, Γ, Δ aequalis. itaque numerum Z metiuntur, qui minor est numero A; quod fieri non potest. nam suppositum est, numerum A minimum metiri numeros B, Γ, Δ. ergo nullus primus numerus numerum A metietur praeter B, Γ, Δ; quod erat demonstrandum.

XV.

Si tres numeri deinceps proportionales sunt minimi eorum, qui eandem rationem habent, duo quilibet coniuncti ad reliquum primi sunt.

Sint tres numeri deinceps proportionales minimi eorum, qui eandem rationem habent, A, B, Γ. dico, numerorum A, B, Γ duos quoslibet coniunctos ad reliquum primos esse, $A + B$ ad Γ, $B + \Gamma$ ad A, $A + \Gamma$ ad B.



sumantur enim minimi eorum, qui eandem rationem habent ac A, B, Γ, duo numeri ΔE, EZ [VIII, 2]. manifestum igitur est, esse

$\Delta E \times \Delta E = A$, $\Delta E \times EZ = B$, $EZ \times EZ = \Gamma$ [VIII, 2]. et quoniam ΔE, EZ minimi sunt, inter se primi sunt [VII, 22]. sin duo numeri inter se primi sunt, etiam uterque simul ad utrumuis primus est [VII, 28]. quare etiam ΔZ ad utrumque

---

et supra scr. ὁποιοῦν B. 16. A] corr. ex Δ φ. A, Γ] Γ, A P. 20. πεποίηκε Vφq. 21. πεποίηκε Vφq. ἔτι ὁ] in ras. V. 22. πεποίηκε Vφq. εἰσι Vφq. 24. ὧσι Vφq. 25. ἐστι Vφq.

τῶν ΔE, EZ πρῶτός ἐστιν. ἀλλὰ μὴν καὶ ὁ ΔE πρὸς τὸν EZ πρῶτός ἐστιν· οἱ ΔZ, ΔE ἄρα πρὸς τὸν EZ πρῶτοί εἰσιν. ἐὰν δὲ δύο ἀριθμοὶ πρός τινα ἀριθμὸν πρῶτοι ὦσιν, καὶ ὁ ἐξ αὐτῶν γενόμενος πρὸς τὸν λοιπὸν πρῶτός ἐστιν· ὥστε ὁ ἐκ τῶν ZΔ, ΔE πρὸς τὸν EZ πρῶτός ἐστιν· ὥστε καὶ ὁ ἐκ τῶν ZΔ, ΔE πρὸς τὸν ἀπὸ τοῦ EZ πρῶτός ἐστιν. [ἐὰν γὰρ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ὁ ἐκ τοῦ ἑνὸς αὐτῶν γενόμενος πρὸς τὸν λοιπὸν πρῶτός ἐστιν]. ἀλλ' ὁ ἐκ τῶν ZΔ, ΔE ὁ ἀπὸ τοῦ ΔE ἐστι μετὰ τοῦ ἐκ τῶν ΔE, EZ· ὁ ἄρα ἀπὸ τοῦ ΔE μετὰ τοῦ ἐκ τῶν ΔE, EZ πρὸς τὸν ἀπὸ τοῦ EZ πρῶτός ἐστιν. καί ἐστιν ὁ μὲν ἀπὸ τοῦ ΔE ὁ A, ὁ δὲ ἐκ τῶν ΔE, EZ ὁ B, ὁ δὲ ἀπὸ τοῦ EZ ὁ Γ· οἱ A, B ἄρα συντεθέντες πρὸς τὸν Γ πρῶτοί εἰσιν. ὁμοίως δὴ δείξομεν, ὅτι καὶ οἱ B, Γ πρὸς τὸν A πρῶτοί εἰσιν. λέγω δή, ὅτι καὶ οἱ A, Γ πρὸς τὸν B πρῶτοί εἰσιν. ἐπεὶ γὰρ ὁ ΔZ πρὸς ἑκάτερον τῶν ΔE, EZ πρῶτός ἐστιν, καὶ ὁ ἀπὸ τοῦ ΔZ πρὸς τὸν ἐκ τῶν ΔE, EZ πρῶτός ἐστιν. ἀλλὰ τῷ ἀπὸ τοῦ ΔZ ἴσοι εἰσὶν οἱ ἀπὸ τῶν ΔE, EZ μετὰ τοῦ δὶς ἐκ τῶν ΔE, EZ· καὶ οἱ ἀπὸ τῶν ΔE, EZ ἄρα μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔE, EZ πρὸς τὸν ὑπὸ τῶν ΔE, EZ πρῶτοί [εἰσι]. διελόντι οἱ ἀπὸ τῶν ΔE, EZ μετὰ τοῦ

---

2. πρῶτοί εἰσι πρὸς τὸν EZ V φ. πρὸς τὸν EZ] om. B. 3. εἰσι q. ἐὰν δέ — 5: πρῶτός ἐστιν] om. Theon (BVφq). 5. ὥστε] καί Theon (BVφq). ZΔ] ΔZ φq et in ras. V. 6. ΔE ἄρα Theon (BVφq). 6. ὥστε καί — 7: πρῶτός ἐστίν] om. Theon (BVφq). 8. γάρ] δέ Theon (BVφq). ἐκ] ἀπό Theon (BVφq). 10. ἐστιν] add. Theon: ὥστε ὁ ἐκ τῶν ZΔ, ΔE καὶ πρὸς τὸν ἀπὸ τοῦ EZ πρῶτός ἐστιν (BVφq). ἀλλά P. ἐστιν PVφ. 11. ἐκ] ὑπό q et supra scr. m. 2 V. ὁ

ΔE, EZ primus est. uerum etiam ΔE ad EZ primus est. itaque ΔZ, ΔE ad EZ primi sunt. sin duo numeri ad numerum aliquem primi sunt, etiam numerus ex iis productus ad reliquum primus est [VII, 24]. quare $Z\Delta \times \Delta E$ ad EZ primus est. quare etiam $Z\Delta \times \Delta E$ ad EZ^2 primus est [VII, 25].[1]) uerum $Z\Delta \times \Delta E = \Delta E^2 + \Delta E \times EZ$ [II, 3]. itaque $\Delta E^2 + \Delta E \times EZ$ ad EZ^2 primus est. et $\Delta E^2 = A$, $\Delta E \times EZ = B$, $EZ^2 = \Gamma$. itaque $A + B$ ad Γ primi sunt. similiter demonstrabimus, etiam $B + \Gamma$ ad A primos esse. iam dico, etiam $A + \Gamma$ ad B primos esse. nam quoniam ΔZ ad utrumque ΔE, EZ primus est, etiam ΔZ^2 ad $\Delta E \times EZ$ primus est [VII, 25]. uerum [II, 4]
$\Delta Z^2 = \Delta E^2 + EZ^2 + 2\Delta E \times EZ$. quare etiam erit $\Delta E^2 + EZ^2 + 2\Delta E \times EZ$ ad $\Delta E \times EZ$ primus. subtrahendo $\Delta E^2 + EZ^2 + \Delta E \times EZ$ ad

1) Lin. 7: *ἐάν* — 10: *ἐστιν* suspecta sunt, quia praepostere causam subiiciunt; praeterea iis deletis id quoque adipiscimur, ut origo scripturae Theonis facilius explicari possit.

ἄρα — 12: ΔE, EZ] m. 2 B. 12. *τῶν*] corr. ex *τοῦ* φ. 13. *ἐστιν*] (prius) *ἐστι* Vφq; seq. in φ: *καί ἐστι*, sed delet. 17. *εἰσι* Vφ. *λέγω* — 18: *εἰσιν*] om. q. 19. *καί*] August; *ὥστε καὶ* PBVφ; *ὁ ἀπὸ τοῦ ΔZ ἐστιν ὁ KE ὁ δὲ ὑπὸ τῶν ΔE, EZ ὁ Σ ὥστε καί* q. *ἑκ*] P; *ὑπό* Theon (BVφq). 21 *ἑκ*] P; *ὑπό* Theon (BVφq). 22. *καὶ οἱ*] *καὶ ὁ* q; *οἱ ἄρα* φ et eraso *ι* V. *ἄρα μετά* — 23: *τὸν ὑπὸ τῶν ΔE, EZ*] m. 2 B. 22. *ἄρα*] om. Vφ. 23. *ὑπό*] *ἑκ* Bq. *ὑπὸ τῶν*] *ὑπό* Bq. *πρῶτός ἐστιν* q. 24. *εἰσι*] om. P. *οἱ*] *ὁ* Bq.

ἅπαξ ὑπὸ ΔE, EZ πρὸς τὸν ὑπὸ ΔE, EZ πρῶτοί εἰσιν. ἔτι διελόντι οἱ ἀπὸ τῶν ΔE, EZ ἄρα πρὸς τὸν ὑπὸ ΔE, EZ πρῶτοί εἰσιν. καί ἐστιν ὁ μὲν ἀπὸ τοῦ ΔE ἑ A, ὁ δὲ ὑπὸ τῶν ΔE, EZ ὁ B, ὁ δὲ ἀπὸ τοῦ EZ ὁ Γ. οἱ A, Γ ἄρα συντεθέντες πρὸς τὸν B πρῶτοί εἰσιν· ὅπερ ἔδει δεῖξαι.

ιϛ΄.

Ἐὰν δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ δεύτερος πρὸς ἄλλον τινά.

Δύο γὰρ ἀριθμοὶ οἱ A, B πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω, ὅτι οὐκ ἔστιν ὡς ὁ A πρὸς τὸν B, οὕτως ὁ B πρὸς ἄλλον τινά.

Εἰ γὰρ δυνατόν, ἔστω ὡς ὁ A πρὸς τὸν B, ὁ B πρὸς τον Γ. οἱ δὲ A, B πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· μετρεῖ ἄρα ὁ A τὸν B ὡς ἡγούμενος ἡγούμενον. μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ A ἄρα τοὺς A, B μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἄτοπον. οὐκ ἄρα ἔσται ὡς ὁ A πρὸς τὸν B, οὕτως ὁ B πρὸς τὸν Γ· ὅπερ ἔδει δεῖξαι.

ιζ΄.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνά-

---

1. ὑπό] ὑπὸ τῶν V φ (bis). πρῶτός ἐστιν V φ q. 2. οἱ] ὁ q. 3. ὑπὸ τῶν V. πρῶτός ἐστι V φ q. 5. ἀπό] ὑπό B φ, V m. 1 (corr. m. 2). τοῦ] τῶν V φ. 7. ιϛ΄] hinc rursus incipit F. 8. δύο] m. 2 F. 14. ὁ] (prius) ἡ φ (non F). 17. ἔχοντας αὐτοῖς V. ὅ τε — 18: ἑπόμενον] om. Theon (B F V q). 18.

$\Delta E \times EZ$ primus est.[1]) et rursus subtrahendo $\Delta E^2 + EZ^2$ ad $\Delta E \times EZ$ primus est. et

$$\Delta E^2 = A,\ \Delta E \times EZ = B,\ EZ^2 = \Gamma.$$


ergo $A + \Gamma$ ad B primi sunt; quod erat demonstrandum.

XVI.

Si duo numeri inter se primi sunt, non erit ut primus ad secundum, ita secundus ad alium aliquem.

Nam duo numeri A, B inter se primi sint. dico, non esse, ut A ad B, ita B ad alium aliquem numerum.

Nam si fieri potest, sit $A : B = B : \Gamma$. uerum A, B primi sunt, primi autem etiam minimi [VII, 21],



minimi autem numeri eos, qui eandem rationem habent, aequaliter metiuntur [VII, 20], praecedens praecedentem et sequens sequentem. itaque A numerum B metitur ut praecedens praecedentem. uerum etiam se ipsum metitur. itaque A numeros A, B metitur, qui inter se primi sunt; quod absurdum est. ergo non erit $A : B = B : \Gamma$; quod erat demonstrandum.

---

1) Hoc ita demonstrat Commandinus fol. 114: si
$$\Delta E^2 + EZ^2 + \Delta E \times EZ \text{ ad } \Delta E \times EZ$$
primus non est, metiatur eos x. ergo etiam metietur $\Delta E^2 + EZ^2 + 2\Delta E \times EZ$ et $\Delta E \times ZE$. at ii inter se primi sunt. eodem modo de lin. 2 — 3 ratiocinandum.

μετρεῖ] om. F. *ἄρα ὁ A*] *ἄρα BA* φ. 19. *τὸν B μετρεῖ* F. *τὸν ἡγούμενον* F. *καί*] insert. m. 1 V. 20. *ἑαυτόν*] corr. ex *αὐτόν* B. 21. *ἄτοπόν ἐστιν* V. *ἔσται*] om. V, *ἐστίν* Bq. 22. *τὸν B ἐστιν* V. 24. *ὁσοιδηποταιι* φ (non F).

λογον, οἱ δὲ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, οὐκ ἔσται ὡς ὁ πρῶτος πρὸς τὸν δεύτερον, οὕτως ὁ ἔσχατος πρὸς ἄλλον τινά.

Ἔστωσαν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ *A*, *B*, *Γ*, *Δ*, οἱ δὲ ἄκροι αὐτῶν οἱ *A*, *Δ* πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν· λέγω, ὅτι οὐκ ἔστιν ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς ἄλλον τινά.

Εἰ γὰρ δυνατόν, ἔστω ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *E*· ἐναλλὰξ ἄρα ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *Δ*, ὁ *B* πρὸς τὸν *E*. οἱ δὲ *A*, *Δ* πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ *A* τὸν *B*. καί ἐστιν ὡς ο *A* πρὸς τὸν *B*, ὁ *B* πρὸς τὸν *Γ*. καὶ ὁ *B* ἄρα τὸν *Γ* μετρεῖ· ὥστε καὶ ὁ *A* τον *Γ* μετρεῖ. καὶ ἐπεί ἐστιν ὡς ὁ *B* προς τον *Γ*, ὁ *Γ* προς τὸν *Δ*, μετρεῖ δὲ ὁ *B* τον *Γ*, μετρεῖ ἄρα καὶ ὁ *Γ* τὸν *Δ*. ἀλλ' ὁ *A* τον *Γ* ἐμέτρει· ὥστε ὁ *A* καὶ τὸν *Δ* μετρεῖ. μετρεῖ δὲ καὶ ἑαυτόν. ὁ *A* ἄρα τοὺς *A*, *Δ* μετρεῖ πρώτους ὄντας προς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ἔσται ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* προς ἄλλον τινά· ὅπερ ἔδει δεῖξαι.

ιη'.


Δύο ἀριθμῶν δοθέντων ἐπισκέψασθαι, εἰ

---

5. *Δ*] (alt.) corr. ex *B* F. 8. *τόν*] om. F. 9. *ἐστίν*] om. V. 11. *ἀριθμοί*] om. V. 12. *ἔχοντας αὐτοῖς* V. 15. *καί*] m. 2 F. 16. *A*] e corr. V. 17. ὁ] (tert.) *τό φ*. 19. *ἐμέτρει*] P, *μετρεῖ* Theon (BFVq). Deinde add. B: *ὥστε ὁ A τὸν Γ μετρεῖ*, sed del. m. 1. *ὁ A καί*] *καὶ ὁ A* F; ὁ *A* q. *μετρεῖ*] (prius) om. F. 22. *Δ*] *B φ* (non F).

XVII.

Si quotlibet numeri deinceps proportionales sunt, et extremi eorum inter se primi sunt, non erit ut primus ad secundum, ita extremus ad alium aliquem.



Sint quotlibet numeri deinceps proportionales A, B, Γ, Δ, et eorum extremi A, Δ inter se primi sint. dico, non esse, ut A ad B, ita Δ ad alium aliquem.

Nam si fieri potest, sit $A : B = \Delta : E$. itaque permutando $A : \Delta = B : E$ [VII, 13]. uerum A, Δ primi sunt, primi autem etiam minimi [VII, 21], minimi autem numeri eos, qui eandem rationem habent, aequaliter metiuntur [VII, 20], praecedens praecedentem et sequens sequentem. itaque A numerum B metitur. est autem $A : B = B : \Gamma$. quare etiam B numerum Γ metitur [VII def. 20]. itaque etiam A numerum Γ metitur. et quoniam est $B : \Gamma = \Gamma : \Delta$, et B numerum Γ metitur, etiam Γ numerum Δ metitur [VII def. 20]. uerum A numerum Γ metiebatur. quare etiam numerum Δ metitur. uerum etiam se ipsum metitur. itaque A numeros A, Δ metitur, qui inter se primi sunt; quod fieri non potest. ergo non erit ut A ad B, ita Δ ad alium aliquem; quod erat demonstrandum.

XVIII.

Datis duobus numeris, num fieri possit, ut tertius eorum proportionalis inueniatur, inquirere.

δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Ἔστωσαν οἱ δοθέντες δύο ἀριθμοὶ οἱ *A*, *B*, καὶ δέον ἔστω ἐπισκέψασθαι, εἰ δυνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Οἱ δὴ *A*, *B* ἤτοι πρῶτοι πρὸς ἀλλήλους εἰσὶν ἢ οὔ. καὶ εἰ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, δέδεικται, ὅτι ἀδύνατόν ἐστιν αὐτοῖς τρίτον ἀνάλογον προσευρεῖν.

Ἀλλὰ δὴ μὴ ἔστωσαν οἱ *A*, *B* πρῶτοι πρὸς ἀλλήλους, καὶ ὁ *B* ἑαυτὸν πολλαπλασιάσας τὸν Γ ποιείτω. ὁ *A* δὴ τὸν Γ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω πρότερον κατὰ τὸν *Δ*· ὁ *A* ἄρα τὸν *Δ* πολλαπλασιάσας τον Γ πεποίηκεν. ἀλλα μὴν καὶ ὁ *B* ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν *A*, *Δ* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *B*. ἔστιν ἄρα ὡς ὁ *A* προς τὸν *B*, ὁ *B* προς τὸν *Δ*· τοῖς *A*, *B* ἄρα τρίτος ἀριθμὸς ἀνάλογον προσηύρηται ὁ *Δ*.


Ἀλλὰ δὴ μὴ μετρείτω ὁ *A* τὸν Γ· λέγω, ὅτι τοῖς *A*, *B* ἀδύνατόν ἐστι τρίτον ἀνάλογον προσευρεῖν ἀριθμόν. εἰ γὰρ δυνατόν, προσηυρήσθω ὁ *Δ*. ο ἄρα ἐκ τῶν *A*, *Δ* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *B*. ὁ δὲ ἀπὸ τοῦ *B* ἐστιν ὁ Γ· ὁ ἄρα ἐκ τῶν *A*, *Δ* ἴσος ἐστὶ τῷ Γ. ὥστε ὁ *A* τὸν *Δ* πολλαπλασιάσας τὸν Γ πεποίηκεν· ὁ *A* ἄρα τὸν Γ μετρεῖ κατὰ τὸν *Δ*. ἀλλα μην ὑπόκειται καὶ μὴ μετρῶν· ὅπερ ἄτοπον. οὐκ ἄρα δυνατόν ἐστι τοῖς *A*, *B* τρίτον ἀνάλογον προσευρεῖν ἀριθμὸν, ὅταν ὁ *A* τὸν Γ μη μετρῇ· ὅπερ ἔδει δεῖξαι.

---

4. ἐπισκέψασα φ (non F). 6. δέ φ (non F). πρῶτοι] postea add. B. 7. καὶ εἰ] P, καὶ εἰ μέν F; εἰ μὲν οὖν BVq. εἰσίν] comp. F; εἰσί PVq. Post δέδεικται add. F: „ἐν τῷ

Sint dati duo numeri A, B. et propositum sit, ut inquiramus, num tertius eorum proportionalis inueniri possit.

Numeri A, B igitur aut inter se primi sunt aut non primi. et si inter se primi sunt, demonstratum est, tertium eorum proportionalem inueniri non posse [prop. XVI]. uerum ne sint A, B inter se primi, et sit $B \times B = \Gamma$. A igitur numerum Γ aut metitur aut non metitur. prius eum secundum Δ metiatur. itaque $A \times \Delta = \Gamma$. uerum etiam $B \times B = \Gamma$. itaque $A \times \Delta = B^2$. quare $A : B = B : \Delta$ [VII, 19]. ergo numerorum A, B tertius proportionalis inuentus est Δ.



Uerum ne metiatur A numerum Γ. dico, numerorum A, B tertium proportionalem inueniri non posse. nam si fieri potest, inueniatur Δ. itaque

$$A \times \Delta = B^2 \text{ [VII, 19]};$$

sed $B^2 = \Gamma$. itaque $A \times \Delta = \Gamma$. quare A numerum Δ multiplicans numerum Γ effecit. itaque A numerum Γ secundum Δ metitur. at supposuimus, eundem non metiri; quod absurdum est. ergo fieri non potest, ut numerorum A, B tertius proportionalis inueniatur numerus, si A numerum Γ non metitur; quod erat demonstrandum.

ις θεωρήματι". 11. ἤτοι] supra m. 1 P. 12. πρότερον τὸν Γ F. 15. ἀπό] ἐκ V. 17. προσεύρηται BFq. 19. ἀνάλογον] om. V. 20. ἀριθμὸν ἀνάλογον V. προσευρήσθω BFV. 26. ἐστιν P. 27. A] B q. μετρεῖ q. ὅπερ ἔδει δεῖξαι] om. BFq.

ιϑ'.

Τριῶν ἀριθμῶν δοθέντων ἐπισκέψασθαι, πότε δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Ἔστωσαν οἱ δοθέντες τρεῖς ἀριθμοὶ οἱ A, B, Γ, καὶ δέον ἔστω ἐπισκέψασθαι, πότε δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν.

Ἤτοι οὖν οὐκ εἰσιν ἑξῆς ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἢ ἑξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν οὐκ εἰσι πρῶτοι πρὸς ἀλλήλους, ἢ οὔτε ἑξῆς εἰσιν ἀνάλογον, οὔτε οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν, ἢ καὶ ἑξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους εἰσίν.

Εἰ μὲν οὖν οἱ A, B, Γ ἑξῆς εἰσιν ἀνάλογον, καὶ οἱ ἄκροι αὐτῶν οἱ A, Γ πρῶτοι πρὸς ἀλλήλους εἰσίν, δέδεικται, ὅτι ἀδύνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν. μὴ ἔστωσαν δη οἱ A, B, Γ ἑξῆς ἀνάλογον τῶν ἄκρων πάλιν ὄντων πρώτων πρὸς

---

3. *πότε*] *εἰ* Theon (BFVq). 6. *πότε*] *εἰ* Theon (BFVq). 8. *ἤτοι οὖν*] scripsi; *ἤ* P; *οἱ δὴ A, B, Γ* Theon (BFVq), P mg. m. rec. *οὐκ εἰσιν ἑξῆς*] *ἤτοι ἑξῆς εἰσιν* Theon (BFVq). *οἱ*] om. V. 9. *αὐτῶν οἱ A, Γ* Theon (BFVq). *ἢ ἑξῆς* — 13: *πρὸς ἀλλήλους εἰσίν*] *ἢ οὔ* Theon (BFq, in ras. V). In V in mg. magna ras. est. 15. *καὶ εἰ* F. *καί*] m. 2 V. 16. *εἰσί* Vq. 18. *μὴ ἔστωσαν* — p. 386, 19: *ὁ γὰρ B*] *εἰ δὲ οὔ, ὁ B* Theon (Fq; idem B (*οὐκ* supra) et V (*εἰ δὲ οὔ* eras.)).

XIX.

Datis tribus numeris, quando fieri possit, ut quartus eorum proportionalis inueniatur, inquirere.

Sint dati tres numeri A, B, Γ, et propositum sit, ut inquiramus, quando quartus eorum proportionalis inueniri possit.

Itaque aut non sunt deinceps proportionales et extremi eorum inter se primi sunt, aut deinceps proportionales sunt et extremi eorum inter se primi non sunt, aut neque deinceps proportionales sunt nec extremi eorum inter se primi, aut et deinceps proportionales et extremi eorum inter se primi.

Iam si A, B, Γ deinceps proportionales sunt et extremi eorum A, Γ inter se primi, demonstratum est, quartum eorum proportionalem inueniri non posse [prop. XVII]. ne sint igitur A, B, Γ deinceps proportionales extremis rursus inter se primis manentibus. dico, ne sic quidem quartum eorum proportionalem inueniri posse.[1]) nam si fieri potest, inueniatur

---

1) Hoc quidem falsum esse, quis non uidet? uerum dedit scholiasta Uaticanus (u. adn. crit.); erroris originem indicauit August II p. 351. neque enim E inueniri potest (p. 386, 4) inuento Δ. sed quod idem scripturam Theonis recepit, male rem egit; ea enim propositioni plene minime respondet. equidem ut adfirmare non ausim, Euclidem talem errorem commisisse, ita scripturam codicis P retinendam puto, quia apertissime sic iam Theonis temporibus ferebatur (ideo enim ipsum eam mutauit), nec habemus, quo modo aliqua saltem probabilitate restituatur. nam Campanus (siue potius Arabes) liberrime, ut solet, locum mutauit. habet IX, 20: „datis tribus numeris continue proportionalibus, an sit aliquis quartus eis continue proportionalis inquirere“. deinde: „idem potes perscrutari quotlibet continue proportional. propositis.“

ἀλλήλους. λέγω, ὅτι καὶ οὕτως ἀδύνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν. εἰ γὰρ δυνατόν, προσευρήσθω ὁ Δ, ὥστε εἶναι ὡς τὸν A πρὸς τὸν B, τὸν Γ προς τὸν Δ, καὶ γεγονέτω ὡς ὁ B πρὸς τὸν Γ, ὁ Δ πρὸς τὸν E. καὶ ἐπεί ἐστιν ὡς μὲν ὁ A πρὸς τὸν B, ὁ Γ πρὸς τὸν Δ, ὡς δὲ ὁ B πρὸς τὸν Γ, ὁ Δ πρὸς τὸν E, δι' ἴσου ἄρα ὡς ὁ A πρὸς τὸν Γ, ὁ Γ πρὸς τὸν E. οἱ δὲ A, Γ πρῶτοι, οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον. μετρεῖ ἄρα ὁ A τὸν Γ ὡς ἡγούμενος ηγούμενον. μετρεῖ δὲ καὶ ἑαυτόν· ὁ A ἄρα τοὺς A, Γ μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα τοῖς A, B, Γ δυνατόν ἐστι τέταρτον ἀνάλογον προσευρεῖν.


Ἀλλὰ δὴ πάλιν ἔστωσαν οἱ A, B, Γ ἑξῆς ἀνάλογον, οἱ δὲ A, Γ μὴ ἔστωσαν πρῶτοι πρὸς ἀλλήλους. λέγω, ὅτι δυνατόν ἐστιν αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν. ὁ γὰρ B τὸν Γ πολλαπλασιάσας τὸν Δ ποιείτω· ἑ A ἄρα τὸν Δ ἤτοι μετρεῖ ἢ οὐ μετρεῖ. μετρείτω αὐτὸν πρότερον κατὰ τὸν E· ὁ A ἄρα τὸν E πολλαπλασιάσας τὸν Δ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ B τὸν Γ πολλαπλασιάσας τὸν Δ πεποίηκεν· ὁ ἄρα ἐκ τῶν A, E ἴσος ἐστὶ τῷ ἐκ τῶν B, Γ. ἀνάλογον ἄρα ἐστὶν ὡς ὁ A πρὸς τὸν B, ὁ Γ πρὸς τὸν E· τοῖς A, B, Γ ἄρα τέταρτος ἀνάλογον προσηύρηται ὁ E.

Ἀλλὰ δὴ μὴ μετρείτω ὁ A τὸν Δ· λέγω, ὅτι ἀδύ-

---

1. Post ἀλλήλους add. in P: ϛ λέγω, ὅτι καὶ οὕτως δυνατόν· εἰ γὰρ ὁ A τὸν ὑπὸ B, Γ μετρεῖ, προβήσεται ἡ δεῖξις ὁμοίως τοῖς ἑξῆς. εἰ δὲ οὐ μετρεῖ ὁ A τὸν ὑπὸ B, Γ, ἀδύνατον

Δ, ita ut sit $A : B = \Gamma : \Delta$, et fiat $B : \Gamma = \Delta : E$. et quoniam est $A : B = \Gamma : \Delta$, et $B : \Gamma = \Delta : E$, ex aequo erit $A : \Gamma = \Gamma : E$ [VII, 14].



sed A, Γ primi sunt, primi autem etiam minimi sunt [VII, 21], minimi autem eos, qui eandem rationem habent, metiuntur [VII, 20] praecedens praecedentem et sequens sequentem. itaque A numerum Γ metitur ut praecedens praecedentem. uerum etiam se ipsum metitur. itaque A numeros A, Γ metitur, qui inter se primi sunt; quod fieri non potest. ergo numerorum A, B, Γ quartus proportionalis inueniri non potest. at rursus numeri A, B, Γ deinceps proportionales sint, ne sint autem A, Γ inter se primi. dico, fieri posse, ut quartus eorum proportionalis inueniatur. sit enim $B \times \Gamma = \Delta$. A igitur numerum Δ aut metitur aut non metitur. prius eum metiatur secundum E. itaque $A \times E = \Delta$. uerum etiam $B \times \Gamma = \Delta$. quare erit $A \times E = B \times \Gamma$. itaque $A : B = \Gamma : E$ [VII, 19]. ergo numerorum A, B, Γ quartus proportionalis inuentus est E. at ne metiatur A numerum Δ. dico,

---

αὐτοῖς τέταρτον ἀνάλογον προσευρεῖν. οἷον ἔστω ὁ μὲν A τριῶν τινων, ὁ δὲ B ἕξ, ὁ δὲ Γ ἑπτα. καὶ δῆλον, ὅτι δυνατόν. εἰ δὲ ὁ A εἴη πέντε, οὐκέτι δυνατόν. καὶ ἁπλῶς, ὅτε μὲν ὁ B πολλαπλάσιός ἐστι τοῦ A, δυνατόν ἐστι τέταρτον ἀνάλογον εὑρεῖν· εἰ δὲ μή, ἀδύνατον ; mg. m. 1: *ἰστέον, ὅτι τὰ ὀβελισμένα σχόλιά εἰσιν.* 15. *ἐστιν* P. 16. *Γ*] om. P. 20. *A ἄρα*] P; *δὴ A* Theon (BFVq). *ἤτοι*] om. V. 21. *αὐτόν*] PF; om. BVq. 25. *ἐστίν*] om. P. 26. *ἀνάλογον εἶς* P. *προσεύρηται* B.

νατόν ἐστι τοῖς *A*, *B*, *Γ* τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν. εἰ γὰρ δυνατόν, προσευρήσθω ὁ *E*· ὁ ἄρα ἐκ τῶν *A*, *E* ἴσος ἐστὶ τῷ ἐκ τῶν *B*, *Γ*. ἀλλὰ ὁ ἐκ τῶν *B*, *Γ* ἐστιν ὁ *Δ*· καὶ ὁ ἐκ τῶν *A*, *E* ἄρα ἴσος ἐστὶ τῷ *Δ*. ὁ *A* ἄρα τὸν *E* πολλαπλασιάσας τὸν *Δ* πεποίηκεν· ὁ *A* ἄρα τὸν *Δ* μετρεῖ κατὰ τὸν *E*· ὥστε μετρεῖ ὁ *A* τὸν *Δ*. ἀλλὰ καὶ οὐ μετρεῖ· ὅπερ ἄτοπον. οὐκ ἄρα δυνατόν ἐστι τοῖς *A*, *B*, *Γ* τέταρτον ἀνάλογον προσευρεῖν ἀριθμόν, ὅταν ὁ *A* τὸν *Δ* μὴ μετρῇ. ἀλλὰ δὴ οἱ *A*, *B*, *Γ* μήτε ἑξῆς ἔστωσαν ἀνάλογον μήτε οἱ ἄκροι πρῶτοι πρὸς ἀλλήλους. καὶ ὁ *B* τὸν *Γ* πολλαπλασιάσας τὸν *Δ* ποιείτω. ὁμοίως δὴ δειχθήσεται, ὅτι εἰ μὲν μετρεῖ ὁ *A* τὸν *Δ*, δυνατόν ἐστιν αὐτοῖς ἀνάλογον προσευρεῖν, εἰ δὲ οὐ μετρεῖ, ἀδύνατον· ὅπερ ἔδει δεῖξαι.

κ'.

Οἱ πρῶτοι ἀριθμοὶ πλείους εἰσὶ παντὸς τοῦ προτεθέντος πλήθους πρώτων ἀριθμῶν.

*Ἔστωσαν οἱ προτεθέντες πρῶτοι ἀριθμοὶ οἱ *A*, *B*, *Γ*· λέγω, ὅτι τῶν *A*, *B*, *Γ* πλείους εἰσὶ πρῶτοι ἀριθμοί.

*Εἰλήφθω γὰρ ὁ ὑπὸ τῶν *A*, *B*, *Γ* ἐλάχιστος μετρούμενος καὶ ἔστω ὁ *ΔE*, καὶ προσκείσθω τῷ *ΔE* μονὰς ἡ *ΔZ*. ὁ δὴ *EZ* ἤτοι πρῶτός ἐστιν ἢ οὔ.

---


1. ἐστιν P. 2. προσηυρήσθω FV. 3. ἀλλ' BFV. 10. μή] supra m. 1 F, οὐ supra m. 2 V. μετρήσῃ F, μετρεῖ q. ἀλλὰ δή — 15: ἀδύνατον] om. BVq. 10. δή] μήτε F. ἑξῆς] οἱ ἑξῆς F. 12. ποιήτω φ (non F). 14. αὐτοῖς] αὐτοῖς τετάρτοις F. εἰ δέ] οὐδ' F. 15. ὅπερ ἔδει δεῖξαι] om. Bq. 17. πρῶτοι ἀριθμοί] del. et supra scr. πρώτων ἀριθμῶν m. 2 B. 18. προστεθέντος F. 23. καί] m. 2 B, om. V. 24. ΔZ] AZ F.

numerorum A, B, Γ quartum proportionalem inueniri non posse. nam si fieri potest, inueniatur E. itaque $A \times E = B \times \Gamma$ [VII, 19]. uerum $B \times \Gamma = \Delta$. quare $A \times E = \Delta$. itaque A numerum E multiplicans numerum Δ effecit. A igitur numerum Δ secundum E metitur. itaque A numerum Δ metitur. uerum etiam non metitur; quod absurdum est. ergo numerorum A, B, Γ quartus proportionalis inueniri non potest, ubi A numerum Δ non metitur. uerum A, B, Γ ne sint deinceps proportionales neu extremi inter se primi. et sit $B \times \Gamma = \Delta$. similiter demonstrabimus, si A numerum Δ metiatur, fieri posse, ut eorum quartus[1]) inueniatur proportionalis, sin non metiatur, fieri non posse; quod erat demonstrandum.

XX.

Primi numeri plures sunt quauis data multitudine primorum numerorum.

Sint dati numeri primi A, B, Γ. dico, plures esse primos numeros quam A, B, Γ. sumatur enim, quem



minimum metiuntur A, B, Γ [VII, 36] et sit ΔE, et numero ΔE adiiciatur unitas ΔZ. EZ igitur aut primus est aut non primus. prius sit primus. ergo in-

1) Uidetur scribendum esse lin. 14: *αὐτοῖς τέταρτον ἀνάλογον*; cfr. F.

ἔστω πρότερον πρῶτος· εὑρημένοι ἄρα εἰσὶ πρῶτοι ἀριθμοὶ οἱ *A*, *B*, *Γ*, *EZ* πλείους τῶν *A*, *B*, *Γ*.

Ἀλλὰ δὴ μὴ ἔστω ὁ *EZ* πρῶτος· ὑπὸ πρώτου ἄρα τινὸς ἀριθμοῦ μετρεῖται. μετρείσθω ὑπὸ πρώτου τοῦ *H*· λέγω, ὅτι ὁ *H* οὐδενὶ τῶν *A*, *B*, *Γ* ἐστιν ὁ αὐτός. εἰ γὰρ δυνατόν, ἔστω. οἱ δὲ *A*, *B*, *Γ* τὸν *ΔE* μετροῦσιν· καὶ ὁ *H* ἄρα τὸν *ΔE* μετρήσει. μετρεῖ δὲ καὶ τὸν *EZ*· καὶ λοιπὴν τὴν *ΔZ* μονάδα μετρήσει ὁ *H* ἀριθμὸς ὤν· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ *H* ἑνὶ τῶν *A*, *B*, *Γ* ἐστιν ὁ αὐτός. καὶ ὑπόκειται πρῶτος. εὑρημένοι ἄρα εἰσὶ πρῶτοι ἀριθμοὶ πλείους τοῦ προτεθέντος πλήθους τῶν *A*, *B*, *Γ* οἱ *A*, *B*, *Γ*, *H*· ὅπερ ἔδει δεῖξαι.

κα'.

Ἐὰν ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστιν.

Συγκείσθωσαν γὰρ ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν οἱ *AB*, *BΓ*, *ΓΔ*, *ΔE*· λέγω, ὅτι ὅλος ὁ *AE* ἄρτιός ἐστιν.

Ἐπεὶ γὰρ ἕκαστος τῶν *AB*, *BΓ*, *ΓΔ*, *ΔE* ἄρτιός ἐστιν, ἔχει μέρος ἥμισυ· ὥστε καὶ ὅλος ὁ *AE* ἔχει μέρος ἥμισυ. ἄρτιος δὲ ἀριθμός ἐστιν ὁ δίχα διαιρούμενος· ἄρτιος ἄρα ἐστὶν ὁ *AE*· ὅπερ ἔδει δεῖξαι.

---


1. Supra πρῶτος add. ἡ *EZ* m. rec. V. εἰσίν P, εἰσὶν οἱ q. 2. ἀριθμοί] om. F. *Γ*] (prius) *ΓΔ* F, *Δ* del. m. 1. 6. δυνατόν, ἔστω] ὁ *H* ἑνὶ τῶν *A*, *B*, *Γ* ἐστιν ὁ αὐτός Theon (BFVq). 7. *ΔE*] ZE F. μετροῦσι BFVq. *ΔE*] ZE F. 8. καί] καὶ ὁ *H* F. *EZ*] *ΔE* F. 10. καί] ὁ αὐτὸς δὲ καί P. 11. εἰσί] εἰσὶν οἱ V. 13. *H*] *H* ἄρα ante ras. 6 litt. F. 15. συν — supra scr. B. 16. ἐστί Vq, comp. F. 17. ὁποσοιοῦν] e corr. V. 18. *BΓ*] in ras. P. *ΓΔ*] m. 2 V. 21. καί] supra lac. pergam. m. rec. F. 23. ὁ *AE* ἄρα ἐστίν F. ὅπερ ἔδει δεῖξαι] om. B.

uenti sunt primi numeri A, B, Γ, EZ plures numeris A, B, Γ. uerum ne sit EZ primus. itaque primus aliquis numerus eum metitur [VII, 31]. metiatur primus numerus H. dico, numerum H nulli numerorum A, B, Γ aequalem esse. nam si fieri potest, sit. uerum A, B, Γ numerum ΔE metiuntur. itaque etiam H numerum ΔE metitur. uerum etiam numerum EZ metitur. quare etiam[1]) quae relinquitur, unitatem ΔZ metietur H, qui numerus est; quod absurdum est. ergo H nulli numerum A, B, Γ aequalis est. et suppositum est, H primum esse. ergo inuenti sunt primi numeri A, B, Γ, H plures data multitudine A, B, Γ; quod erat demonstrandum.

XXI.

Si quotlibet numeri pares componuntur, totus par erit.

Componantur enim quotlibet numeri pares AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE. dico, etiam totum AE parem esse.



nam quoniam singuli numeri AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE pares sunt, partem dimidiam habent [VII def. 6]. quare etiam totus AE partem dimidiam habet. par autem numerus is est, qui in duas partes aequales diuiditur [id.]. ergo AE par est; quod erat demonstrandum.

---

1) U. ad VII, 28.

κβ'.

Ἐὰν περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, τὸ δὲ πλῆθος αὐτῶν ἄρτιον ᾖ, ὁ ὅλος ἄρτιος ἔσται.

Συγκείσθωσαν γὰρ περισσοὶ ἀριθμοὶ ὁσοιδηποτοῦν ἄρτιοι τὸ πλῆθος οἱ AB, $BΓ$, $ΓΔ$, $ΔE$· λέγω, ὅτι ὅλος ὁ AE ἄρτιός ἐστιν.

Ἐπεὶ γὰρ ἕκαστος τῶν AB, $BΓ$, $ΓΔ$, $ΔE$ περιττός ἐστιν, ἀφαιρεθείσης μονάδος ἀφ' ἑκάστου ἕκαστος τῶν λοιπῶν ἄρτιος ἔσται· ὥστε καὶ ὁ συγκείμενος ἐξ αὐτῶν ἄρτιος ἔσται. ἔστι δὲ καὶ τὸ πλῆθος τῶν μονάδων ἄρτιον. καὶ ὅλος ἄρα ὁ AE ἄρτιός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κγ'.

Ἐὰν περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, τὸ δὲ πλῆθος αὐτῶν περισσὸν ᾖ, καὶ ὁ ὅλος περισσὸς ἔσται.

Συγκείσθωσαν γὰρ ὁποσοιοῦν περισσοὶ ἀριθμοί, ὧν τὸ πλῆθος περισσὸν ἔστω, οἱ AB, $BΓ$, $ΓΔ$· λέγω, ὅτι καὶ ὅλος ὁ $AΔ$ περισσός ἐστιν.

Ἀφῃρήσθω ἀπὸ τοῦ $ΓΔ$ μονὰς ἡ $ΔE$· λοιπὸς ἄρα ὁ $ΓE$ ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ $ΓA$ ἄρτιος· καὶ ὅλος ἄρα ὁ AE ἄρτιός ἐστιν. καί ἐστι μονὰς ἡ $ΔE$. περισσὸς ἄρα ἐστὶν ὁ $AΔ$· ὅπερ ἔδει δεῖξαι.


---

2. *συντεθῶσι* FVq. 3. ὁ] om. PVq. 4. *ἐστιν* F. 5. *γάρ*] m. 2 F. 6. *ἄρτιοι*] om. F. 8. *ἑκάτερος* F, corr. m. 2. 11. *ἔστι*] *ἔστω* P. 13. Inter *ἐστιν* et *ὅπερ* aliam demonstr. habet F; u. app. 15. *ὁποσοιοῦν*] om. V. *συντεθῶσι* Vq. 17. ὁ] om. PBFVq; corr. August. 18. *περισσοὶ ἀριθμοὶ ὁποσοιοῦν* V. 19. *οἱ*] ὁ F. 22. *ἐστιν*] *ἐστιν δὲ τῶν πρὸ αὐτοῦ* F. *ΓA*] *AΓ* BVq. 23. *ἐστιν*] P,

XXII.

Si quotlibet numeri impares componuntur, et multitudo eorum par est, totus par erit.

Componantur enim quotlibet numeri impares numero pares AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE. dico, totum AE parem esse.




nam quoniam singuli numeri AB, $B\Gamma$, $\Gamma\Delta$, ΔE impares sunt, unitate a singulis subtracta, qui relinquuntur, singuli pares erunt [VII def. 7]. quare etiam numerus ex iis compositus par erit [prop. XXI]. uerum etiam multitudo unitatum par est. ergo etiam totus AE par est [id.]; quod erat demonstrandum.

XXIII.

Si quotlibet numeri impares componuntur, et multitudo eorum impar est, etiam totus impar erit.

Componantur enim quotlibet numeri impares, quorum multitudo impar sit, AB, $B\Gamma$, $\Gamma\Delta$. dico, etiam totum $A\Delta$ imparem esse.



subtrahatur a $\Gamma\Delta$ unitas ΔE. itaque qui relinquitur, ΓE par est [VII def. 7]. uerum etiam ΓA par est [prop. XXII]. quare etiam totus AE par est [prop. XXI]. et ΔE unitas est. ergo $A\Delta$ impar est [VII def. 7]; quod erat demonstrandum.

---

comp. F; ἐστι Vq. ἐστι] seq. ras. 1 litt. V, ἐστιν B. 24. ἄρα] om. q. ὅπερ ἔδει δεῖξαι] om. BFq.

κδ'.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, ὁ λοιπὸς ἄρτιος ἔσται.

Ἀπὸ γὰρ ἀρτίου τοῦ AB ἄρτιος ἀφῃρήσθω ὁ $B\Gamma$· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓA ἄρτιός ἐστιν.

Ἐπεὶ γὰρ ὁ AB ἄρτιός ἐστιν, ἔχει μέρος ἥμισυ. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ $B\Gamma$ ἔχει μέρος ἥμισυ· ὥστε καὶ λοιπὸς [ὁ ΓA ἔχει μέρος ἥμισυ] ἄρτιος [ἄρα] ἐστὶν ὁ $A\Gamma$· ὅπερ ἔδει δεῖξαι.

κε'.

Ἐὰν ἀπὸ ἀρτίου ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ, ὁ λοιπὸς περισσὸς ἔσται.

Ἀπὸ γὰρ ἀρτίου τοῦ AB περισσὸς ἀφῃρήσθω ὁ $B\Gamma$· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓA περισσός ἐστιν.

Ἀφῃρήσθω γὰρ ἀπὸ τοῦ $B\Gamma$ μονὰς ἡ $\Gamma\Delta$· ὁ ΔB ἄρα ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ AB ἄρτιος· καὶ λοιπὸς ἄρα ὁ $A\Delta$ ἄρτιός ἐστιν. καί ἐστι μονὰς ἡ $\Gamma\Delta$· ὁ ΓA ἄρα περισσός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κς'.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ περισσὸς ἀφαιρεθῇ, ὁ λοιπὸς ἄρτιος ἔσται.

Ἀπὸ γὰρ περισσοῦ τοῦ AB περισσὸς ἀφῃρήσθω ὁ $B\Gamma$· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓA ἄρτιός ἐστιν.


---

4. ἀφῃρήσθω ἄρτιος P. 5. ΓA] Γ P. ἔσται F. 7. $B\Gamma$] ΓB F. 8. ὁ ΓA — ἥμισυ] om. P. ΓA] e corr. V. ἄρα] om. P. 9. ὅπερ ἔδει δεῖξαι] om. BVq. 11. Post περισσός add. F: ἀριθμός (comp.). 14. ὅτι] ὅτι καί V. 15. ὁ] seq. ras. 2 litt. P. 16. ἔστι δέ — 17: ἐστιν] bis F, corr. m. 1. 16. ἔστι] ἔστιν P. 17. ἐστιν] P; comp. F; ἐστι Vq.

XXIV.

Si a numero pari par subtrahitur, reliquus par erit.

Nam a pari numero AB par subtrahatur $B\Gamma$. dico, reliquum ΓA parem esse.




nam quoniam AB par est, partem dimidiam habet [VII def. 6]. eadem de causa etiam $B\Gamma$ partem dimidiam habet. ergo etiam reliquus $A\Gamma$ par est; quod erat demonstrandum.

XXV.

Si a numero pari impar subtrahitur, reliquus impar erit.

Nam a pari numero AB impar subtrahatur $B\Gamma$. dico, reliquum ΓA imparem esse.



subtrahatur enim a $B\Gamma$ unitas $\Gamma\Delta$. itaque ΔB par est [VII def. 7]. uerum etiam AB par est. quare etiam reliquus $A\Delta$ par est [prop. XXIV]. et unitas est $\Gamma\Delta$. ergo ΓA impar est [VII def. 7]; quod erat demonstrandum.

XXVI.

Si a numero impari impar subtrahitur, reliquus par erit.



Nam ab impari numero AB impar subtrahatur $B\Gamma$. dico, reliquum ΓA parem esse.

Ἐπεὶ γὰρ ὁ AB περισσός ἐστιν, ἀφῃρήσθω μονὰς ἡ BΔ· λοιπὸς ἄρα ὁ AΔ ἄρτιός ἐστιν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΓΔ ἄρτιός ἐστιν· ὥστε καὶ λοιπὸς ὁ ΓA ἄρτιός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

κζ′.

Ἐὰν ἀπὸ περισσοῦ ἀριθμοῦ ἄρτιος ἀφαιρεθῇ, ὁ λοιπὸς περισσὸς ἔσται.

Ἀπὸ γὰρ περισσοῦ τοῦ AB ἄρτιος ἀφῃρήσθω ὁ BΓ· λέγω, ὅτι ὁ λοιπὸς ὁ ΓA περισσός ἐστιν.

Ἀφῃρήσθω [γὰρ] μονὰς ἡ AΔ· ὁ ΔB ἄρα ἄρτιός ἐστιν. ἔστι δὲ καὶ ὁ BΓ ἄρτιος· καὶ λοιπὸς ἄρα ὁ ΓΔ ἄρτιός ἐστιν. περισσὸς ἄρα ὁ ΓA· ὅπερ ἔδει δεῖξαι.

κη′.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος ἄρτιος ἔσται.

Περισσὸς γὰρ ἀριθμὸς ὁ A ἄρτιον τὸν B πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω, ὅτι ὁ Γ ἄρτιός ἐστιν.

Ἐπεὶ γὰρ ὁ A τὸν B πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Γ ἄρα σύγκειται ἐκ τοσούτων ἴσων τῷ B, ὅσαι εἰσὶν ἐν τῷ A μονάδες. καί ἐστιν ὁ B ἄρτιος· ὁ Γ ἄρα σύγκειται ἐξ ἀρτίων. ἐὰν δὲ ἄρτιοι ἀριθμοὶ ὁποσοιοῦν συντεθῶσιν, ὁ ὅλος ἄρτιός ἐστιν. ἄρτιος ἄρα ἐστὶν ὁ Γ· ὅπερ ἔδει δεῖξαι.

---

2. *ἐστιν*] P, comp. F; *ἐστι* Vq. 4. *ΓA*] *AΓ* BVq. 7. *ἔσται*] *ἐστιν* comp. F. 9. *ὁ*] (alt.) om. q. *ΓA*] e corr. V. 10. *γάρ*] om. P. *ἄρα*] om. q. 12. *ἐστι* q. Seq. in V: *ἔστι δὲ καὶ μονὰς ἡ ΔA.* *ἄρα ἐστίν* V. 14. *περισσός*] supra F. 16. *περισσὸς γὰρ ἀριθμός*] *ἀριθμὸς γάρ* F. 23. *τεθῶσιν* P. *ὁ*] om. q.

nam quoniam AB impar est, subtrahatur unitas $B\Delta$. itaque reliquus $A\Delta$ par est. eadem de causa etiam $\Gamma\Delta$ par est [VII def. 7].[1]) ergo etiam qui relinquitur, ΓA par est [prop. XXIV]; quod erat demonstrandum.

XXVII.

Si a numero impari par subtrahitur, reliquus impar erit.


Nam a numero impari AB par subtrahatur $B\Gamma$. dico, reliquum ΓA imparem esse.



nam subtrahatur unitas $A\Delta$. itaque ΔB par est [VII def. 7]. uerum etiam $B\Gamma$ par est. quare etiam reliquus $\Gamma\Delta$ par est [prop. XXIV]. ergo ΓA impar est [VII def. 7]; quod erat demonstrandum.

XXVIII.

Si numerus impar parem multiplicans numerum aliquem effecerit, numerus productus par erit.



Nam impar numerus A parem B multiplicans numerum Γ efficiat. dico, numerum Γ parem esse.

nam quoniam $A \times B = \Gamma$, numerus Γ ex totidem numeris numero B aequalibus compositus est, quot sunt unitates in A [VII def. 15]. et B par est. Γ igitur ex paribus compositus est. sin quotlibet numeri pares componuntur, totus par est [prop. XXI]. ergo Γ par est; quod erat demonstrandum.

---

1) Nam supposuimus, ΓB imparem esse.

κϑ'.

Ἐὰν περισσὸς ἀριθμὸς περισσὸν ἀριθμὸν πολλαπλασιάσας ποιῇ τινα, ὁ γενόμενος περισσὸς ἔσται.

Περισσὸς γὰρ ἀριθμὸς ὁ *A* περισσὸν τὸν *B* πολλαπλασιάσας τὸν Γ ποιείτω· λέγω, ὅτι ὁ Γ περισσός ἐστιν.

Ἐπεὶ γὰρ ὁ *A* τὸν *B* πολλαπλασιάσας τὸν Γ πεποίηκεν, ὁ Γ ἄρα σύγκειται ἐκ τοσούτων ἴσων τῷ *B*, ὅσαι εἰσὶν ἐν τῷ *A* μονάδες. καί ἐστιν ἑκάτερος τῶν *A*, *B* περισσός· ὁ Γ ἄρα σύγκειται ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν ἐστιν. ὥστε ὁ Γ περισσός ἐστιν· ὅπερ ἔδει δεῖξαι.

λ'.

Ἐὰν περισσὸς ἀριθμὸς ἄρτιον ἀριθμὸν μετρῇ, καὶ τὸν ἥμισυν αὐτοῦ μετρήσει.

Περισσὸς γὰρ ἀριθμὸς ὁ *A* ἄρτιον τὸν *B* μετρείτω· λέγω, ὅτι καὶ τὸν ἥμισυν αὐτοῦ μετρήσει.


Ἐπεὶ γὰρ ὁ *A* τὸν *B* μετρεῖ, μετρείτω αὐτὸν κατὰ τὸν Γ· λέγω, ὅτι ὁ Γ οὐκ ἔστι περισσός. εἰ γὰρ δυνατόν, ἔστω. καὶ ἐπεὶ ὁ *A* τὸν *B* μετρεῖ κατὰ τὸν Γ, ὁ *A* ἄρα τὸν Γ πολλαπλασιάσας τὸν *B* πεποίηκεν. ὁ *B* ἄρα σύγκειται ἐκ περισσῶν ἀριθμῶν, ὧν τὸ πλῆθος περισσόν ἐστιν. ὁ *B* ἄρα περισσός ἐστιν· ὅπερ ἄτοπον· ὑπόκειται γὰρ ἄρτιος. οὐκ ἄρα

---

3. ποιεῖ F, sed corr. e corr. τό] m. 2 V. 12. ὧν] om. B, περισσῶν V m. 2 περισσόν ἐστιν] ὁ δὲ συγκείμενος ἐκ περισσῶν ἀριθμῶν περισσῶν (add. m. 2) τὸ πλῆθος περισσός ἐστιν V. 16. ἥμισυ Fq. 17. περισσός — 18: μετρήσει]

XXIX.

Si impar numerus imparem numerum multiplicans numerum aliquem effecerit, numerus productus impar erit.




Nam impar numerus A imparem numerum B multiplicans numerum Γ efficiat. dico, numerum Γ imparem esse.

nam quoniam $A \times B = \Gamma$, numerus Γ ex totidem numeris numero B aequalibus compositus est, quot unitates sunt in A [VII def. 15]. et uterque A, B impar est. itaque Γ compositus est ex imparibus numeris, quorum multitudo impar est. ergo Γ impar est [prop. XXIII]; quod erat demonstrandum.

XXX.

Si numerus impar parem numerum metitur, etiam dimidium eius metietur.

Nam impar numerus A parem B metiatur. dico, eum etiam dimidium eius metiri.



nam quoniam A numerum B metitur, metiatur secundum Γ. dico, Γ imparem non esse. nam si fieri potest, impar sit. et quoniam A numerum B secundum Γ metitur, erit

$$A \times \Gamma = B.$$

itaque B compositus est ex numeris imparibus, quorum multitudo impar est. itaque B impar est [prop. XXIII]; quod absurdum est; nam supposuimus,

---

mg. m. 1 F. 18. *τόν*] corr. ex *τό* m. 1 F. 21. *ἔσται φ*. 22. *ἄρα*] om. V. 23. *ἄρα B* V.

ὁ Γ περισσός ἐστιν· ἄρτιος ἄρα ἐστὶν ὁ Γ. ὥστε ὁ Α τὸν Β μετρεῖ ἀρτιάκις. διὰ δὴ τοῦτο καὶ τὸν ἥμισυν αὐτοῦ μετρήσει· ὅπερ ἔδει δεῖξαι.

λα'.

Ἐὰν περισσὸς ἀριθμὸς πρός τινα ἀριθμὸν πρῶτος ᾖ, καὶ πρὸς τὸν διπλασίονα αὐτοῦ πρῶτος ἔσται.

Περισσὸς γὰρ ἀριθμὸς ὁ Α πρός τινα ἀριθμὸν τὸν Β πρῶτος ἔστω, τοῦ δὲ Β διπλασίων ἔστω ὁ Γ· λέγω, ὅτι ὁ Α [καὶ] πρὸς τὸν Γ πρῶτός ἐστιν.

Εἰ γὰρ μή εἰσιν [οἱ Α, Γ] πρῶτοι, μετρήσει τις αὐτοὺς ἀριθμός. μετρείτω, καὶ ἔστω ὁ Δ. καί ἐστιν ὁ Α περισσός· περισσὸς ἄρα καὶ ὁ Δ. καὶ ἐπεὶ ὁ Δ περισσὸς ὢν τὸν Γ μετρεῖ, καί ἐστιν ὁ Γ ἄρτιος, καὶ τὸν ἥμισυν ἄρα τοῦ Γ μετρήσει [ὁ Δ]. τοῦ δὲ Γ ἥμισύ ἐστιν ὁ Β· ὁ Δ ἄρα τὸν Β μετρεῖ. μετρεῖ δὲ καὶ τὸν Α. ὁ Δ ἄρα τοὺς Α, Β μετρεῖ πρώτους ὄντας πρὸς ἀλλήλους· ὅπερ ἐστὶν ἀδύνατον. οὐκ ἄρα ὁ Α πρὸς τὸν Γ πρῶτος οὐκ ἐστιν. οἱ Α, Γ ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν· ὅπερ ἔδει δεῖξαι.

λβ'.

Τῶν ἀπὸ δύαδος διπλασιαζομένων ἀριθμων ἕκαστος ἀρτιάκις ἄρτιός ἐστι μόνον.

Ἀπὸ γὰρ δύαδος τῆς Α δεδιπλασιάσθωσαν ὁσοι-

---


1. ἐστὶν ὁ Γ] ὁ Γ V, ἐστίν F. 2. τοῦτον φ. τόν] τό P. 3. ἥμισυ PF. ὅπερ ἔδει δεῖξαι] m. 2 V, om. BFq. 6. διπλάσιον BV. 9. διπλάσιος Vq. 10. καί] om. P. 11. οἱ Α, Γ] supra m. 1 P. 12. καί ἐστιν — 13: ὁ Δ] mg. m. 2 V. 12. ἐστιν] ἐπεί ἐστιν F; ἔστω q. 13. περισσὸς ἄρα] ἔστιν ἄρα περισσός F. 15. ἥμισυ F. ὁ Δ] om. P. 16.

eum parem esse. itaque Γ impar non est. par igitur est Γ. quare A numerum B secundum parem numerum metitur. ergo[1]) etiam dimidium eius metietur; quod erat demonstrandum.

XXXI.

Si impar numerus ad numerum aliquem primus est, etiam ad duplicem eius primus erit.

Nam impar numerus A ad numerum aliquem B primus sit, et sit $\Gamma = 2B$. dico, A ad Γ primum esse. nam si non sunt primi, numerus aliquis eos metietur. metiatur, et sit Δ. et A impar est. itaque etiam Δ impar est. et quoniam Δ impar numerum Γ metitur, et Γ par est, etiam dimidium numeri Γ metietur. uerum $B = \frac{1}{2}\Gamma$. itaque Δ numerum B metitur. uerum etiam numerum A metitur. Δ igitur numeros A, B metitur, qui inter se primi sunt; quod fieri non potest. itaque fieri non potest, ut A ad Γ primus non sit. ergo A, Γ inter se primi sunt; quod erat demonstrandum.



XXXII.

Qui inde a binario semper conduplicando producuntur numeri, singuli solum pariter pares sunt.

Nam a binario A quotlibet numeri semper condu-

1) Nam dimidium secundum numerum dimidium metietur quam totum.

ἥμισυς BVq. 19. τόν] τό F. Γ] corr. ex B V. Post A in F del. B. 22. δι- in ras. 6 litt. V. 23. ἐστιν P. 24. A] non liquet F.

δηποτοῦν ἀριθμοὶ οἱ *B*, *Γ*, *Δ*· λέγω, ὅτι οἱ *B*, *Γ*, *Δ* ἀρτιάκις ἄρτιοί εἰσι μόνον.

Ὅτι μὲν οὖν ἕκαστος [τῶν *B*, *Γ*, *Δ*] ἀρτιάκις ἄρτιός ἐστιν, φανερόν· ἀπὸ γὰρ δυάδος ἐστὶ διπλασιασθείς. λέγω, ὅτι καὶ μόνον. ἐκκείσθω γὰρ μονάς. ἐπεὶ οὖν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογόν εἰσιν, ὁ δὲ μετὰ τὴν μονάδα ὁ *A* πρῶτός ἐστιν, ὁ μέγιστος τῶν *A*, *B*, *Γ*, *Δ* ὁ *Δ* ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται παρὲξ τῶν *A*, *B*, *Γ*. καί ἐστιν ἕκαστος τῶν *A*, *B*, *Γ* ἄρτιος· ὁ *Δ* ἄρα ἀρτιάκις ἄρτιός ἐστι μόνον. ὁμοίως δὴ δείξομεν, ὅτι [καὶ] ἑκάτερος τῶν *B*, *Γ* ἀρτιάκις ἄρτιός ἐστι μόνον· ὅπερ ἔδει δεῖξαι.

λγ'.

Ἐὰν ἀριθμὸς τὸν ἥμισυν ἔχῃ περισσόν, ἀρτιάκις περισσός ἐστι μόνον.


Ἀριθμὸς γὰρ ὁ *A* τὸν ἥμισυν ἐχέτω περισσόν· λέγω, ὅτι ὁ *A* ἀρτιάκις περισσός ἐστι μόνον.

Ὅτι μὲν οὖν ἀρτιάκις περισσός ἐστιν, φανερόν· ὁ γὰρ ἥμισυς αὐτοῦ περισσὸς ὢν μετρεῖ αὐτὸν ἀρτιάκις. λέγω δή, ὅτι καὶ μόνον. εἰ γὰρ ἔσται ὁ *A* καὶ ἀρτιάκις ἄρτιος, μετρηθήσεται ὑπὸ ἀρτίου κατὰ ἄρτιον ἀριθμόν· ὥστε καὶ ὁ ἥμισυς αὐτοῦ μετρηθήσεται ὑπὸ ἀρτίου ἀριθμοῦ περισσὸς ὤν· ὅπερ ἐστὶν ἄτοπον. ὁ *A* ἄρα ἀρτιάκις περισσός ἐστι μόνον· ὅπερ ἔδει δεῖξαι.

---

1. *B*] (bis) *A*, *B* F. 3. *οὖν*] om. P. *τῶν B, Γ, Δ*] om. P. *A*, *B* F. *ἄρτιον*, *-ον* eras. V. 4. *ἐστιν*] comp. Fq; *ἐστι* PV. *ἀπὸ γάρ*] *αὐτό* (e corr.) *γὰρ ἀπό* F. *ἐστί*] *ἐστίν ἕκαστος* F. 5. *λέγω δή* BVq. *μονὰς ἡ E* Vq; *ἡ E* postea insert. B. 11. *καί*] om. P. *ἕκαστος* P. 15. *ἥμισυ* F. 16. *ἐστιν* P. 17. *ἥμισυ* F. 18. *ἐστιν* P. 19. *ἐστιν*] P, comp. F; *ἐστι* Vq. 20. *ἥμισυ* F. *αὐτός φ* (non F). 22. *καί*] om. F. Post *ἄρτιος* add. V: *ὁ ἥμισυς αὐτοῦ ἄρτιός ἐστι καί*; idem B m. rec. 23. *ἥμισυ* F.

plicando producantur *B*, *Γ*, *Δ*. dico, numeros *B*, *Γ*, *Δ* solum pariter pares esse.



iam singulos numeros *B*, *Γ*, *Δ* pariter pares esse, manifestum est. nam a binario semper conduplicando producti sunt [VII def. 8]. dico, eos etiam solum pariter pares esse. sumatur enim unitas. iam quoniam ab unitate quotlibet numeri deinceps proportionales sunt, et unitati proximus *A* primus est, maximum numerorum *A*, *B*, *Γ*, *Δ* numerum *Δ* nullus alius metietur praeter *A*, *B*, *Γ* [prop. XIII]. et singuli numeri *A*, *B*, *Γ* pares sunt. ergo *Δ* solum pariter par est [VII def. 8]. similiter demonstrabimus, etiam utrumque *B*, *Γ* solum pariter parem esse; quod erat demonstrandum.

XXXIII.

Si numerus aliquis dimidium imparem habet, solum pariter impar est.

Nam numerus *A* dimidium habeat imparem. dico,



numerum *A* solum pariter imparem esse. iam pariter imparem eum esse, manifestum est; nam dimidius eius, qui impar est, eum pariter metitur [VII def. 9]. dico, eum etiam solum pariter imparem esse. nam si *A* etiam pariter par erit, par eum numerus secundum parem numerum metietur [VII def. 8]. quare etiam dimidium eius, qui impar est, par numerus metietur; quod absurdum est. ergo *A* solum pariter impar est; quod erat demonstrandum.

λδ'.

Ἐὰν ἀριθμὸς μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομένων ᾖ μήτε τὸν ἥμισυν ἔχῃ περισσόν, ἀρτιάκις τε ἄρτιός ἐστι καὶ ἀρτιάκις περισσός.

Ἀριθμὸς γὰρ ὁ *A* μήτε τῶν ἀπὸ δυάδος διπλασιαζομένων ἔστω μήτε τὸν ἥμισυν ἐχέτω περισσόν· λέγω, ὅτι ὁ *A* ἀρτιάκις τέ ἐστιν ἄρτιος καὶ ἀρτιάκις περισσός.

Ὅτι μὲν οὖν ὁ *A* ἀρτιάκις ἐστὶν ἄρτιος, φανερόν· τὸν γὰρ ἥμισυν οὐκ ἔχει περισσόν. λέγω δή, ὅτι καὶ ἀρτιάκις περισσός ἐστιν. ἐὰν γὰρ τὸν *A* τέμνωμεν δίχα καὶ τὸν ἥμισυν αὐτοῦ δίχα καὶ τοῦτο ἀεὶ ποιῶμεν, καταντήσομεν εἴς τινα ἀριθμὸν περισσόν, ὃς μετρήσει τὸν *A* κατὰ ἄρτιον ἀριθμόν. εἰ γὰρ οὔ, καταντήσομεν εἰς δυάδα, καὶ ἔσται ὁ *A* τῶν ἀπὸ δυάδος διπλασιαζομένων· ὅπερ οὐχ ὑπόκειται. ὥστε ὁ *A* ἀρτιάκις περισσός ἐστιν. ἐδείχθη δὲ καὶ ἀρτιάκις ἄρτιος. ὁ *A* ἄρα ἀρτιάκις τε ἄρτιός ἐστι καὶ ἀρτιάκις περισσός· ὅπερ ἔδει δεῖξαι.

λε'.

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον, ἀφαιρεθῶσι δὲ ἀπό τε τοῦ δευτέρου

---

2. ἐάν] ἄν q. Deinde add. ἄρτιος B m. rec., V in ras. m. 2. διπλασιαζόμενον P. 3. τόν] τό F m. 1, corr. m. 2; το φ. ἥμισυ F. 4. ἐστιν P. 6. ἥμισυ F. ἔχων V. 7. ὅτι] m. 2 V. τε] om. q et P_2 (u. p. 408, 5 adn. crit.). ἄρτιός ἐστι V. 9. ἄρτιός ἐστι V. φανερόν] in ras. m. 1 q. 10. ἥμισυ F, et q, sed corr. m. 1. 11. τέμωμεν BVq. 12. ἥμισυ F. ποιῶμεν ἀεί F. 13. ποιοῦμεν P, P_2. καταντήσωμεν P_2. περισσόν] om. q. 14. κατὰ τόν V, sed τόν del. εἰ γὰρ οὔ] om. P_2. Post οὔ add. Theon: καταντήσομεν εἴς τινα ἀριθμὸν

XXXIV.

Si numerus aliquis nec ex iis est, qui a binario semper conduplicando producuntur, nec dimidium imparem habet, et pariter par est et pariter impar.[1])

Nam numerus *A* ne sit ex iis, qui a binario semper conduplicando producuntur, neue dimidium imparem habeat. dico, numerum *A* et pariter parem et pariter imparem esse.

A

iam numerum *A* pariter parem esse, manifestum est [VII def. 8]; nam dimidium imparem non habet. dico, eundem pariter imparem esse. nam si *A* in duas partes aequales diuiserimus et rursus dimidium et idem semper deinceps fecerimus, aliquando ad numerum perueniemus, qui numerum *A* secundum numerum parem metitur. nam si minus, ad binarium perueniemus, et *A* ex iis erit, qui a binario semper conduplicando producuntur; quod est contra hypothesim. quare *A* pariter impar erit [VII def. 9]. sed demonstratum est, eundem pariter parem esse. ergo *A* et pariter par et pariter impar est; quod erat demonstrandum.

XXXV.

Si quotlibet numeri deinceps proportionales sunt, et a secundo et ultimo numeri primo aequales sub-

1) Propp. 33—34 aliter citat Iamblichus in Nicom. p. 32. de hoc loco et de Euclidis diuisione numerorum u. Studien p. 197 sq.

περισσόν, ὃς μετρήσει τὸν A κατὰ ἄρτιον ἀριθμόν (BFVq). 15. *καταντήσωμεν* P_2, *καταν-* in ras. m. 2 V. 16. *ὥστε*] *ὥσπερ* P_2. 17. *A καί* BVq. *περισσός — ἀρτιάκις* m. rec. B. 18. *A*] *Δ φ*. *τε*] om. VP_2. 22. *τε*] *τοῦ φ* (non F), om. BVq.

καὶ τοῦ ἐσχάτου ἴσοι τῷ πρώτῳ, ἔσται ὡς ἡ τοῦ δευτέρου ὑπεροχὴ πρὸς τὸν πρῶτον, οὕτως ἡ τοῦ ἐσχάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑαυτοῦ πάντας.

Ἔστωσαν ὁποσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ *A*, *BΓ*, *Δ*, *EZ* ἀρχόμενοι ἀπὸ ἐλαχίστου τοῦ *A*, καὶ ἀφῃρήσθω ἀπὸ τοῦ *BΓ* καὶ τοῦ *EZ* τῷ *A* ἴσος ἑκάτερος τῶν *BH*, *ZΘ*· λέγω, ὅτι ἐστὶν ὡς ὁ *HΓ* πρὸς τὸν *A*, οὕτως ὁ *EΘ* πρὸς τοὺς *A*, *BΓ*, *Δ*.


Κείσθω γὰρ τῷ μὲν *BΓ* ἴσος ὁ *ZK*, τῷ δὲ *Δ* ἔσος ο *ZΛ*. καὶ ἐπεὶ ὁ *ZK* τῷ *BΓ* ἴσος ἐστίν, ὧν ὁ *ZΘ* τῷ *BH* ἴσος ἐστίν, λοιπὸς ἄρα ὁ *ΘK* λοιπῷ τῷ *HΓ* ἐστιν ἴσος. καὶ ἐπεί ἐστιν ὡς ὁ *EZ* πρὸς τὸν *Δ*, οὕτως ὁ *Δ* πρὸς τὸν *BΓ* καὶ ὁ *BΓ* πρὸς τὸν *A*, ἴσος δὲ ὁ μὲν *Δ* τῷ *ZΛ*, ὁ δὲ *BΓ* τῷ *ZK*, ὁ δὲ *A* τῷ *ZΘ*, ἔστιν ἄρα ὡς ὁ *EZ* πρὸς τὸν *ZΛ*, οὕτως ὁ *ΛZ* πρὸς τὸν *ZK* καὶ ὁ *ZK* πρὸς τὸν *ZΘ*. διελόντι, ὡς ὁ *EΛ* πρὸς τὸν *ΛZ*, οὕτως ὁ *ΛK* πρὸς τὸν *ZK* καὶ ὁ *KΘ* πρὸς τὸν *ZΘ*. ἔστιν ἄρα καὶ ὡς εἷς τῶν ἡγουμένων πρὸς ἕνα τῶν ἑπομένων, οὕτως ἅπαντες οἱ ἡγούμενοι πρὸς ἅπαντας τοὺς ἑπομένους· ἔστιν ἄρα ὡς ὁ *KΘ* πρὸς τὸν *ZΘ*, οὕτως οἱ *EΛ*, *ΛK*, *KΘ* πρὸς τοὺς *ΛZ*, *ZK*, *ΘZ*. ἴσος δὲ ὁ μὲν *KΘ* τῷ *ΓH*, ὁ δὲ *ZΘ* τῷ *A*, οἱ δὲ *ΛZ*, *ZK*, *ΘZ*

---

1. τοῦ] om. V. 2. τόν] τό φ (non F). 4. ἅπαντας F, ὕπαντας φ. 5. ὁσοιδηποτοῦν V, in F -δη- a φ in -δε- mutat. 6. ἀπὸ τοῦ φ, post ἀπό ras. 3 litt. B. *A*] *Δ* φ (non F). 7. τοῦ] (alt.) postea insert F. 8. *BH*] P; *ΓH* F, *HΓ* BVq. ἐστίν] om. F. *HΓ*] P, *BH* BFVq. 10. τῷ] τῶν Bq. μέν] om. BV; in B m. 2 ex τῶν fecit τῷ μέν. *ZK*] *ZH* φ (non F). 12. *BH*] P, *ΓH* F, *HΓ* BVq. ἐστί q. 13. *HΓ*] P, *HB* BFVq. ἐπεί] om. F. 14. τόν] (alt.) τό φ (non F). 16. *EZ*] *ΘZ* φ (non F). *ZΛ*] *ΛZ* Bq.

trahuntur, erit ut excessus secundi ad primum, ita excessus ultimi ad omnes praecedentes.

Sint quotlibet numeri deinceps proportionales A, $B\Gamma$, Δ, EZ ab A minimo incipientes, et ab $B\Gamma$, EZ



numero A aequales subtrahantur BH, $Z\Theta$. dico, esse $H\Gamma : A = E\Theta : A + B\Gamma + \Delta$.

ponatur enim $ZK = B\Gamma$ et $Z\Lambda = \Delta$. et quoniam est $ZK = B\Gamma$ et $Z\Theta = BH$, erit $\Theta K = H\Gamma$. et quoniam est $EZ : \Delta = \Delta : B\Gamma = B\Gamma : A$ [VII, 13], et $\Delta = Z\Lambda$, $B\Gamma = ZK$, $A = Z\Theta$, erit

$$EZ : Z\Lambda = \Lambda Z : ZK = ZK : Z\Theta.$$

subtrahendo [VII, 11. 13] erit

$$E\Lambda : \Lambda Z = \Lambda K : ZK = K\Theta : Z\Theta.$$

itaque etiam ut unus praecedentium ad unum sequentium, ita omnes praecedentes ad omnes sequentes [VII, 12]. itaque erit

$$K\Theta : Z\Theta = E\Lambda + \Lambda K + K\Theta : \Lambda Z + ZK + \Theta Z.$$

uerum est $K\Theta = \Gamma H$, $Z\Theta = A$,

$$\Lambda Z + ZK + \Theta Z = \Delta + B\Gamma + A.$$

---

17. ΛZ] $Z\Lambda$ FV. ZK] (alt.) KZ P. 18. ἄρα ὡς V. τόν] om. q. 19 ZK] KZ F. $K\Theta$] Θ e corr. m. 1 q. καί] om. V. 22. τόν] om. F. οἱ] ὁ F. 23. ΛZ] corr. ex AZ m. 1 q. ZK] KZ BVq. ΘZ] $Z\Theta$ P. 24. ΓH] P, BH BFVq. δέ] (prius) m. 2 V. ZK] KZ BVq. ΘZ] $Z\Theta$ P.

τοῖς Δ, ΒΓ, Α· ἔστιν ἄρα ὡς ὁ ΓΗ πρὸς τὸν Α, οὕτως ὁ ΕΘ πρὸς τοὺς Δ, ΒΓ, Α. ἔστιν ἄρα ὡς ἡ τοῦ δευτέρου ὑπεροχὴ πρὸς τὸν πρῶτον, οὕτως ἡ τοῦ ἐσχάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑαυτοῦ πάντας· ὅπερ ἔδει δεῖξαι.

λϛ′.

Ἐὰν ἀπὸ μονάδος ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἐκτεθῶσιν ἐν τῇ διπλασίονι ἀναλογίᾳ, ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένηται, καὶ ὁ σύμπας ἐπὶ τὸν ἔσχατον πολλαπλασιασθεὶς ποιῇ τινα, ὁ γενόμενος τέλειος ἔσται.

Ἀπὸ γὰρ μονάδος ἐκκείσθωσαν ὁσοιδηποτοῦν ἀριθμοὶ ἐν τῇ διπλασίονι ἀναλογίᾳ, ἕως οὗ ὁ σύμπας συντεθεὶς πρῶτος γένηται, οἱ Α, Β, Γ, Δ, καὶ τῷ σύμπαντι ἴσος ἔστω ὁ Ε, καὶ ὁ Ε τὸν Δ πολλαπλασιάσας τὸν ΖΗ ποιείτω. λέγω, ὅτι ὁ ΖΗ τέλειός ἐστιν.

Ὅσοι γάρ εἰσιν οἱ Α, Β, Γ, Δ τῷ πλήθει, τοσοῦτοι ἀπὸ τοῦ Ε εἰλήφθωσαν ἐν τῇ διπλασίονι ἀναλογίᾳ οἱ Ε, ΘΚ, Λ, Μ· δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ, οὕτως ὁ Ε πρὸς τὸν Μ. ὁ ἄρα ἐκ τῶν Ε, Δ ἴσος ἐστὶ τῷ ἐκ τῶν Α, Μ. καί ἐστιν ὁ ἐκ τῶν Ε, Δ ὁ ΖΗ· καὶ ὁ ἐκ τῶν Α, Μ ἄρα ἐστὶν ὁ ΖΗ. ὁ Α ἄρα τὸν Μ πολλαπλασιάσας τὸν ΖΗ πεποίηκεν· ὁ Μ ἄρα τὸν ΖΗ μετρεῖ κατὰ τὰς ἐν τῷ


---

1. ἔστιν ἄρα — 2: Δ, ΒΓ, Α] om. q. 1. ΓΗ] P; ΗΒ F; ΒΗ BV. 2. ΕΘ] Ε postea insert. F. τούς] om. F. 4. ἅπαντας F. 5. ὅπερ ἔδει δεῖξαι] om. Bq. Post δεῖξαι in P add. lin. 7 — 21: τὸν Μ cum quibusdam discrepantiis (P_2), dein περιττὸν ἐχέτω, et deinde p. 404, 7 — 19 (P_2), in mg. περιττόν et in fine τὸ περιττὸν τοῦτο σφάλμα ἐστίν. 9. σύμπας σὺν τῇ μονάδι F. 11. ἔσται τέλειος q. 12. ὁσοιδη-


itaque $\Gamma H : A = E\Theta : \Delta + B\Gamma + A$. ergo est ut excessus secundi ad primum, ita excessus ultimi ad omnes praecedentes; quod erat demonstrandum.

XXXVI.

Si ab unitate quotlibet numeri deinceps in proportione duplicata proponuntur, donec totus ex omnibus compositus primus fiat, et totus ultimum multiplicans numerum aliquem effecerit, numerus inde productus perfectus erit.



Nam ab unitate proponantur quotlibet numeri in proportione duplicata, donec totus ex omnibus compositus primus fiat, A, B, Γ, Δ, et toti aequalis sit E, et sit $E \times \Delta = ZH$. dico, ZH perfectum esse.



nam quot sunt A, B, Γ, Δ multitudine, totidem ab E sumantur in proportione duplicata E, ΘK, Λ, M. itaque ex aequo erit [VII, 14] $A : \Delta = E : M$. itaque $E \times \Delta = A \times M$ [VII, 19]. et $E \times \Delta = ZH$. quare $A \times M = ZH$. A igitur numerum M multiplicans numerum ZH effecit. quare M numerum ZH

ποτοῦν] P_2 BFVq, ὁποσοιοῦν P. 13. οὗ] om. P_2. σύμπας σὺν τῇ μονάδι F. 14. Γ, Δ] om. P_2. 15. σύμπαντι σὺν τῇ μονάδι F. 19. ἀναλογίαν φ (non F). 20. ΘK] K in ras. m. 2 V.

Α μονάδας. καί ἐστι δυὰς ὁ Α· διπλάσιος ἄρα ἐστὶν ὁ ΖΗ τοῦ Μ. εἰσὶ δὲ καὶ οἱ Μ, Λ, ΘΚ, Ε ἑξῆς διπλάσιοι ἀλλήλων· οἱ Ε, ΘΚ, Λ, Μ, ΖΗ ἄρα ἑξῆς ἀνάλογόν εἰσιν ἐν τῇ διπλασίονι ἀναλογίᾳ. ἀφῃρήσθω δὴ ἀπὸ τοῦ δευτέρου τοῦ ΘΚ καὶ τοῦ ἐσχάτου τοῦ ΖΗ τῷ πρώτῳ τῷ Ε ἴσος ἑκάτερος τῶν ΘΝ, ΖΞ· ἔστιν ἄρα ὡς ἡ τοῦ δευτέρου ἀριθμοῦ ὑπεροχὴ πρὸς τὸν πρῶτον, οὕτως ἡ τοῦ ἐσχάτου ὑπεροχὴ πρὸς τοὺς πρὸ ἑαυτοῦ πάντας. ἔστιν ἄρα ὡς ὁ ΝΚ πρὸς τὸν Ε, οὕτως ὁ ΞΗ πρὸς τοὺς Μ, Λ, ΚΘ, Ε. καί ἐστιν ὁ ΝΚ ἴσος τῷ Ε· καὶ ὁ ΞΗ ἄρα ἴσος ἐστὶ τοῖς Μ, Λ, ΘΚ, Ε. ἔστι δὲ καὶ ὁ ΖΞ τῷ Ε ἴσος, ὁ δὲ Ε τοῖς Α, Β, Γ, Δ καὶ τῇ μονάδι. ὅλος ἄρα ὁ ΖΗ ἴσος ἐστὶ τοῖς τε Ε, ΘΚ, Λ, Μ καὶ τοῖς Α, Β, Γ, Δ καὶ τῇ μονάδι· καὶ μετρεῖται ὑπ' αὐτῶν. λέγω, ὅτι καὶ ὁ ΖΗ ὑπ' οὐδενὸς ἄλλου μετρηθήσεται παρὲξ τῶν Α, Β, Γ, Δ, Ε, ΘΚ, Λ, Μ καὶ τῆς μονάδος. εἰ γὰρ δυνατόν, μετρείτω τις τὸν ΖΗ ὁ Ο, καὶ ὁ Ο μηδενὶ τῶν Α, Β, Γ, Δ, Ε, ΘΚ, Λ, Μ ἔστω ὁ αὐτός. καὶ ὁσάκις ὁ Ο τὸν ΖΗ μετρεῖ, τοσαῦται μονάδες ἔστωσαν ἐν τῷ Π· ὁ Π ἄρα τὸν Ο πολλαπλασιάσας τὸν ΖΗ πεποίηκεν. ἀλλὰ μὴν καὶ ὁ Ε τὸν Δ πολλαπλασιάσας τὸν ΖΗ πεποίηκεν· ἔστιν ἄρα ὡς ὁ Ε πρὸς τὸν Π, ὁ Ο πρὸς τὸν Δ. καὶ ἐπεὶ ἀπὸ μονάδος ἑξῆς ἀνάλογόν εἰσιν οἱ Α, Β, Γ, Δ, ὁ Δ ἄρα ὑπ' οὐδενὸς

---

2. *Ε*] om. F. 3. Post *Ε* in F insert. *Θ* m. 2. *ἑξῆς*] om. F. 5. *δή*] corr. ex *δέ* m. 1 F. 6. *τῶν*] ὁ in ras. P. 10. ὁ] (alt.) *ὡς* ὁ F. 11. *τῷ Ε ἴσος* F. *ἐστίν* P. 12. *ἔστιν* P. *ΖΞ*] *ΞΖ* P. 13. *ἴσος ἐστί*] supra m. 1 F. 18. ὁ *Ο*] (alt.) supra m. 1 F. 19. ὁ] om. B. 21. *Π*] (alt.) *Ο* P. *Ο*] *Π* P. 22. *ΖΗ*] *Η* supra m. 1 F. 23. *ΖΗ*] Ζ eras. V. Post *πεποίηκεν* add. F: *ὁ ἄρα ἐκ τῶν Ε, Δ ἴσος ἐστὶ τῷ ἐκ τῶν*

secundum unitates numeri A metitur. et A binarius est. ergo $ZH = 2M$. uerum etiam M, Λ, ΘK, E deinceps inter se duplices sunt. quare E, ΘK, Λ, M, ZH deinceps proportionales sunt in proportione duplicata. iam a secundo ΘK et ultimo ZH primo E aequales subtrahantur ΘN, $Z\Xi$. itaque erit ut excessus secundi ad primum, ita excessus ultimi ad omnes praecedentes [prop. XXXV]. erit igitur

$$NK : E = \Xi H : M + \Lambda + K\Theta + E.$$

est autem $NK = E$.[1]) quare etiam

$$\Xi H = M + \Lambda + \Theta K + E.$$

uerum etiam

$$Z\Xi = E \text{ et } E = A + B + \Gamma + \Delta + 1.$$

quare erit totus

$$ZH = E + \Theta K + \Lambda + M + A + B + \Gamma + \Delta + 1.$$

et hi eum metiuntur. dico, etiam nullum alium ZH numerum metiri praeter A, B, Γ, Δ, E, ΘK, Λ, M et unitatem. nam si fieri potest, metiatur O numerum ZH, neu O ulli numerorum A, B, Γ, Δ, E, ΘK, Λ, M aequalis sit. et quoties O numerum ZH metitur, tot unitates sint in Π. ergo $\Pi \times O = ZH$. uerum etiam $E \times \Delta = ZH$. quare est [VII, 19] $E : \Pi = O : \Delta$. et quoniam ab unitate deinceps proportionales sunt A, B, Γ, Δ, numerum Δ nullus alius metietur nume-

1) Nam $\Theta K = 2E$ et $\Theta N = E$.

Π, O. ἄρα] om. F. 25. *εἰσιν ἀνάλογον* BV. ἀριθμοὶ οἱ Theon (BFVq). Post Γ, Δ add. BV: *ὁ δὲ μετὰ τὴν μονάδα ὁ A πρῶτός ἐστι· δυὰς γάρ.*

ἄλλου ἀριθμοῦ μετρηθήσεται παρὲξ τῶν *A*, *B*, *Γ*. καὶ ὑπόκειται ὁ *O* οὐδενὶ τῶν *A*, *B*, *Γ* ὁ αὐτός· οὐκ ἄρα μετρήσει ὁ *O* τὸν *Δ*. ἀλλ᾽ ὡς ὁ *O* πρὸς τὸν *Δ*, ὁ *E* πρὸς τὸν *Π*· οὐδὲ ὁ *E* ἄρα τὸν *Π* μετρεῖ. καί ἐστιν ὁ *E* πρῶτος· πᾶς δὲ πρῶτος ἀριθμὸς πρὸς ἅπαντα, ὃν μὴ μετρεῖ, πρῶτός [ἐστιν]. οἱ *E*, *Π* ἄρα πρῶτοι πρὸς ἀλλήλους εἰσίν. οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι, οἱ δὲ ἐλάχιστοι μετροῦσι τοὺς τὸν αὐτὸν λόγον ἔχοντας ἰσάκις ὅ τε ἡγούμενος τὸν ἡγούμενον καὶ ὁ ἑπόμενος τὸν ἑπόμενον· καί ἐστιν ὡς ὁ *E* πρὸς τὸν *Π*, ὁ *O* πρὸς τὸν *Δ*· ἰσάκις ἄρα ὁ *E* τὸν *O* μετρεῖ καὶ ὁ *Π* τὸν *Δ*. ὁ δὲ *Δ* ὑπ᾽ οὐδενὸς ἄλλου μετρεῖται παρὲξ τῶν *A*, *B*, *Γ*· ὁ *Π* ἄρα ἑνὶ τῶν *A*, *B*, *Γ* ἐστιν ὁ αὐτός. ἔστω τῷ *B* ὁ αὐτός. καὶ ὅσοι εἰσὶν οἱ *B*, *Γ*, *Δ* τῷ πλήθει τοσοῦτοι εἰλήφθωσαν ἀπὸ τοῦ *E* οἱ *E*, *ΘK*, *Λ*. καί εἰσιν οἱ *E*, *ΘK*, *Λ* τοῖς *B*, *Γ*, *Δ* ἐν τῷ αὐτῷ λόγῳ· δι᾽ ἴσου ἄρα ἐστὶν ὡς ὁ *B* πρὸς τὸν *Δ*, ὁ *E* πρὸς τὸν *Λ*. ὁ ἄρα ἐκ τῶν *B*, *Λ* ἴσος ἐστὶ τῷ ἐκ τῶν *Δ*, *E*· ἀλλ᾽ ὁ ἐκ τῶν *Δ*, *E* ἴσος ἐστὶ τῷ ἐκ τῶν *Π*, *O*· καὶ ὁ ἐκ τῶν *Π*, *O* ἄρα ἴσος ἐστὶ τῷ ἐκ τῶν *B*, *Λ*. ἔστιν ἄρα ὡς ὁ *Π* πρὸς τὸν *B*, ὁ *Λ* πρὸς τὸν *O*. καί ἐστιν ὁ *Π* τῷ *B* ὁ αὐτός· καὶ ὁ *Λ* ἄρα τῷ *O* ἐστιν ὁ αὐτός· ὅπερ ἀδύνατον· ὁ γὰρ *O* ὑπόκειται μηδενὶ τῶν ἐκκειμένων ὁ αὐτός. οὐκ ἄρα τὸν *ZH* μετρήσει τις ἀριθμὸς παρὲξ τῶν

---

1. καὶ ὑπόκειται ὁ] ὁ δέ BFVq. 2. *Γ*] *Γ* ἐστιν FVq. 3. *O*] (prius) *Π* B. 4. τὸν] (prius) om. F. μετρήσει V. 5. πᾶς] ἅπας BVq. πᾶς δὲ πρῶτος] om. F. 6. μετρῇ F. ἐστιν] om. P. 9. ἔχοντας αὐτοῖς V. 11. *O*] *Π* φ (non F). *E*] corr. ex *O* m. 1 F. *O*] e corr. F. 13. *B*] (alt.) om. q. 16. *B*] *E* B. 19. *Δ*, *E*] *E*, *Δ* q. ἀλλά P. *Δ*, *E*] *E*,

rus praeter A, B, Γ [prop. XIII]. et suppositum est, O nulli numerorum A, B, Γ aequalem esse. quare O numerum Δ non metietur. est autem $O:\Delta = E:\Pi$. itaque ne E quidem numerum Π metitur [VII def. 20]. et E primus est. omnis autem primus numerus ad omnem, quem non metitur, primus est [VII, 29]. ergo E, Π inter se primi sunt. primi autem etiam minimi sunt [VII, 21], minimi autem eos, qui eandem rationem habent, aequaliter metiuntur [VII, 20], praecedens praecedentem et sequens sequentem; et est

$$E:\Pi = O:\Delta.$$

itaque E numerum O et Π numerum Δ aequaliter metitur. Δ autem numerum nullus alius metitur praeter A, B, Γ. itaque Π alicui numerorum A, B, Γ aequalis est. sit $\Pi = B$. et quot sunt multitudine B, Γ, Δ, totidem sumantur ab E numeri E, ΘK, Λ. et E, ΘK, Λ in eadem ratione sunt ac B, Γ, Δ. itaque ex aequo erit [VII, 14] $B:\Delta = E:\Lambda$. quare

$$B \times \Lambda = \Delta \times E \text{ [VII, 19].}$$

sed $\Delta \times E = \Pi \times O$. quare etiam

$$\Pi \times O = B \times \Lambda.$$

itaque $\Pi : B = \Lambda : O$ [VII, 19]. et $\Pi = B$. itaque etiam $\Lambda = O$; quod fieri non potest. nam suppositum est, O nulli numerorum propositorum aequalem esse. itaque nullus numerus numerum ZH me-

---

Δ q. 22. B] (prius) e corr. q. 23. Λ] O φ (non F). O] Λ φ (non F.). 24. *ἐγκειμένων* FV. 25. *μετρεῖ* P.

A, *B*, *Γ*, *Δ*, *E*, *ΘK*, *Λ*, *M* καὶ τῆς μονάδος. καὶ ἐδείχθη ὁ *ZH* τοῖς *A*, *B*, *Γ*, *Δ*, *E*, *ΘK*, *Λ*, *M* καὶ τῇ μονάδι ἴσος. τέλειος δὲ ἀριθμός ἐστιν ὁ τοῖς ἑαυτοῦ μέρεσιν ἴσος ὤν· τέλειος ἄρα ἐστὶν ὁ *ZH*· ὅπερ ἔδει δεῖξαι.

---

1. *Λ*, *M*] insert. m. 2 in fine lin. F; leg. m. 1 in init. seq., del. m. 2. Post μονάδος add. Theon: οἱ *A*, *B*, *Γ*, *Δ*, *E*, *ΘK*, *Λ*, *M* ἄρα μόνοι καὶ ἡ μονὰς μετροῦσι τὸν *ZH* (BFVq). In fine: *Εὐκλείδου στοιχείων ϑ′* P, *Εὐκλείδου στοιχείων τῆς Θέωνος ἐκδο. ϑ′* F.

titur praeter A, B, Γ, Δ, E, ΘK, Λ, M et unitatem.[1]) et demonstratum est, esse

$$ZH = A + B + \Gamma + \Delta + E + \Theta K + \Lambda + M + 1.$$

perfectus autem numerus is est, qui partibus suis aequalis est [VII def. 22]. ergo ZH perfectus est; quod erat demonstrandum.

---

1) Ii autem metiuntur numerum ZH; p. 410, 15.

Euclide

APPENDIX.

V, 19 πόρ.

Γεγόνασι δὲ οἱ λόγοι καὶ ἐπὶ τῶν ἰσάκις πολλαπλασίων καὶ ἐπὶ τῶν ἀναλογιῶν, ἐπειδήπερ ἐὰν πρῶτον δευτέρου ἰσάκις ᾖ πολλαπλάσιον καὶ τρίτον τετάρτου, ἔσται καὶ ὡς τὸ πρῶτον πρὸς τὸ δεύτερον, οὕτως τὸ τρίτον πρὸς τὸ τέταρτον. οὐκέτι δὲ καὶ ἀντιστρέφει· ἐὰν ᾖ ὡς πρῶτον πρὸς δεύτερον, οὕτως τρίτον πρὸς τέταρτον, οὐ πάντως ἔσται καὶ τὸ μὲν πρῶτον τοῦ δευτέρου ἰσάκις πολλαπλάσιον τὸ δὲ τρίτον τοῦ τετάρτου, καθάπερ ἐπὶ τῶν ἡμιολίων ἢ ἐπιτρίτων λόγων ἢ τῶν τοιούτων· ὅπερ ἔδει δεῖξαι.

VI, 20.

Ἄλλως.

Δείξομεν δὴ καὶ ἑτέρως προχειρότερον ὁμόλογα τὰ τρίγωνα.

Ἐκκείσθωσαν γὰρ πάλιν τὰ ΑΒΓΔΕ, ΖΗΘΚΛ πολύγωνα, καὶ ἐπεζεύχθωσαν αἱ ΒΕ, ΕΓ, ΗΛ, ΛΘ. λέγω, ὅτι ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ, οὕτως τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ καὶ τὸ ΓΔΕ πρὸς τὸ

---

1. In textu post *δεῖξαι* p. 56, 3 habent BFVp, ed. Basil.; mg. m. 1 P. 3. *ἐπί*] om. F. *πρῶτος* P. 4. *πολλαπλάσιον ᾖ* F. 5. *ἔσται καί*] corr. ex *καὶ ἔσται* m. 1 V. *τό*] (alt.) om. F. 7. *ἀναστρέφει* P. *ἐὰν γάρ* ed. Basil. *ὡς τό* P, ed. Basil. *πρὸς τό* P. 8. *τὸ τρίτον πρὸς τό* P. 10. *ἡμιολίων λόγων* p. 11. *λόγων*] φ, om. *ἢ τῶν τοιούτων*, sed in lin. seq. leg. a m. 1: *λόγων ἢ τῶν τοιούτων* (euan.); om. P. *ὅπερ ἔδει δεῖξαι*] *ὅπερ* F; om. P. 12. PBFVp; cfr. Campanus.

V, 19 coroll.

Hae rationes autem et de aeque multiplicibus et de proportionibus ualent, quoniam si primum secundi aeque multiplex est ac tertium quarti, erit etiam ut primum ad secundum, ita tertium ad quartum. uerum conuerti non potest; neque enim si est ut primum ad secundum, ita tertium ad quartum, ideo semper erit primum secundi aeque multiplex et tertium quarti, uelut in rationibus sesqualteris uel sesquitertiis uel similibus; quod erat demonstrandum.

VI, 20.

Aliter.[1])

Iam aliter quoque promptius demonstrabimus, triangulos correspondentes esse.

ponantur enim rursus polygona $ABΓΔE$, $ZHΘKΛ$, et ducantur BE, $EΓ$, $HΛ$, $ΛΘ$. dico, esse

$$ABE : ZHΛ = EBΓ : ΛHΘ = ΓΔE : ΘKΛ.$$

1) Campanus VI, 18: „aliter potest demonstrari secundum.“ deinde eodem modo, quo hic fit, demonstrat, triangulos correspondentes esse, et inde concludit de polygonis totis.

13. ἄλλως] om. B, m. 2 FV; κβ′ p, F mg. m. 1. 16. γάρ] m. 2 F. Post Θ ras. 1 litt. V. 18. Post ὅτι add. ἐστίν BVp, F m. 2. ZΛH F, Λ in ras. m. 2 V.

ΘΚΛ. ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ ΑΒΕ τρίγωνον τῷ ΖΗΛ τριγώνῳ, τὸ ΑΒΕ ἄρα τρίγωνον πρὸς τὸ ΖΗΛ διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΒΕ πρὸς τὴν ΗΛ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΒΕΓ τρίγωνον πρὸς τὸ ΗΛΘ τρίγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΒΕ πρὸς τὴν ΗΛ. ἔστιν ἄρα ὡς τὸ ΑΒΕ τρίγωνον πρὸς τὸ ΖΗΛ τρίγωνον, οὕτως τὸ ΒΕΓ πρὸς τὸ ΗΛΘ. πάλιν ἐπεὶ ὅμοιόν [ἐστι] τὸ ΕΒΓ τρίγωνον τῷ ΛΗΘ τριγώνῳ, τὸ ΕΒΓ ἄρα πρὸς τὸ ΛΗΘ διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΓΕ εὐθεῖα πρὸς τὴν ΘΛ. διὰ τὰ αὐτὰ δὴ καὶ τὶ ΕΓΔ τρίγωνον πρὸς τὸ ΛΘΚ τρίγωνον διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΓΕ πρὸς τὴν ΘΛ. ἔστιν ἄρα ὡς τὶ ΒΕΓ τρίγωνον πρὸς τὸ ΛΗΘ, οὕτως τὸ ΓΕΔ πρὸς τὸ ΛΘΚ. ἐδείχθη δὲ καὶ ὡς τὸ ΕΒΓ πρὸς τὸ ΛΗΘ, οὕτως τὸ ΑΒΕ πρὸς τὸ ΖΗΛ. καὶ ὡς ἄρα τὸ ΑΒΕ πρὸς τὸ ΖΗΛ, οὕτως τὶ ΒΕΓ πρὸς τὸ ΗΛΘ καὶ τὸ ΕΓΔ πρὸς τὸ ΛΘΚ· ὅπερ ἔδει δεῖξαι.

VI, 27.

Ἄλλως.

Ἔστω γὰρ πάλιν ἡ ΑΒ τμηθεῖσα δίχα κατὰ τὸ Γ

---


1. *ἐστι*] m. 2 F. 2. *ἄρα*] om. V. 4. *ΒΕΓ*] *Ε΄ΒΓ* F. 7. Post *ΒΕΓ* add. *τρίγωνον* Bp, m. 2 FV. 8. *ἐστι*] om. P. 10. *εὐθεῖα*] m. 2 V. 11. *ΕΓΔ*] corr. ex *ΓΕΔ* m. 1 p. *πρὸς τὸ ΛΘΚ τρίγωνον*] mg. m. 2 B, om. p; *διπλασίονα λόγον ἔχει πρός* in ras. m. 2 F; seq. *τὸ ΑΘΚ τρίγωνον* m. 1. 12. *διπλασίονα λόγον ἔχει*] in ras. m. rec. F. 13. *ΒΕΓ*] *ΕΒΓ* P. 14. *ΓΕΔ*] *ΕΓΔ* P. 15. *ΑΒΕ πρός*] in ras. m. 2 V, seq. *πρός* m. 1. 16. *καὶ ὡς ἄρα* — 17: *ΒΕΓ πρός*] in ras. F. 17. *ΒΕΓ*] *Β* in ras. m. 2 V. Post *ΛΘΚ* add. BVp: *καὶ ὡς ἄρα ἓν τῶν ἡγουμένων πρὸς ἓν τῶν ἑπομένων, οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα τὰ ἑπόμενα καὶ τὰ λοιπά ὡς ἐν τῇ προτέρᾳ δείξει*; idem F, sed postea insert. in ras. 19. Post

nam quoniam $ABE \sim ZH\Lambda$, erit [VI, 19]

$$ABE : ZH\Lambda = BE^2 : H\Lambda^2.$$

eadem de causa erit etiam

$$B\Gamma E : H\Lambda\Theta = BE^2 : H\Lambda^2.$$



itaque $ABE : ZH\Lambda = B\Gamma E : H\Lambda\Theta$. rursus quoniam $EB\Gamma \sim \Lambda H\Theta$, erit $EB\Gamma : \Lambda H\Theta = \Gamma E^2 : \Theta\Lambda^2$. eadem de causa etiam erit $E\Gamma\Delta : \Lambda\Theta K = \Gamma E^2 : \Theta\Lambda^2$. itaque $B\Gamma E : \Lambda H\Theta = \Gamma E\Delta : \Lambda\Theta K$. sed demonstratum est etiam $EB\Gamma : \Lambda H\Theta = ABE : ZH\Lambda$. ergo etiam

$$ABE : ZH\Lambda = B\Gamma E : H\Lambda\Theta = E\Gamma\Delta : \Lambda\Theta K;$$

quod erat demonstrandum.

VI, 27.

Aliter.[1])

Nam rursus AB in Γ in duas partes aequales di-

1) Est alter casus prop. 27. locum interpolatum esse, supra demonstraui. cum in P in mg. m. rec. addatur, ueri simile est, eum a Theone profectum esse. Campanus VI, 26: „idem etiam esset, si superficies af (= AE) fieret altior superficie cd (= $A\Lambda$), ut uidere potes in secunda figura".

$\delta\varepsilon\tilde{\iota}\xi\alpha\iota$ VI, 27 extr. BFVp; mg. m. rec. P; similia habet Campanus VI, 26. 21. $\lambda\alpha'$ mg. p.

καὶ παραβληθὲν τὸ $A\Lambda$ ἐλλεῖπον εἴδει τῷ ΛB, καὶ παραβεβλήσθω πάλιν παρὰ τὴν AB τὸ AE παραλληλόγραμμον ἐλλεῖπον τῷ EB ὁμοίῳ τε καὶ ὁμοίως κειμένῳ τῷ ἀπὸ τῆς ἡμισείας τῷ ΛB. λέγω, ὅτι μεῖζόν ἐστι τὸ ἀπὸ τῆς ἡμισείας παραβληθὲν τὸ $A\Lambda$ τοῦ AE.

Ἐπεὶ γὰρ ὅμοιόν ἐστι τὸ EB τῷ ΛB, περὶ τὴν αὐτήν εἰσι διάμετρον. ἔστω αὐτῶν διάμετρος ἡ EB καὶ καταγεγράφθω τὸ σχῆμα. καὶ ἐπεὶ ἴσον ἐστὶ τὸ ΛZ τῷ $\Lambda\Theta$, ἐπεὶ καὶ ἡ ZH τῇ $H\Theta$, μεῖζον ἄρα τὸ ΛZ τοῦ KE. ἴσον δὲ τὸ ΛZ τῷ $\Delta\Lambda$. μεῖζον ἄρα καὶ τὸ $\Delta\Lambda$ τοῦ EK. κοινὸν [προσκείσθω] τὸ $K\Delta$. ὅλον ἄρα τὸ $A\Lambda$ ὅλου τοῦ AE μεῖζόν ἐστιν· ὅπερ ἔδει δεῖξαι.

VI, 30.

Ἄλλως.


Ἔστω ἡ δοθεῖσα εὐθεῖα ἡ AB. δεῖ δὴ τὴν AB ἄκρον καὶ μέσον λόγον τεμεῖν.

Τετμήσθω γὰρ ἡ AB κατὰ τὸ Γ ὥστε τὸ ὑπὸ τῶν AB, $B\Gamma$ ἴσον εἶναι τῷ ἀπὸ τῆς ΓA τετραγώνῳ. ἐπεὶ οὖν τὸ ὑπὸ τῶν AB, $B\Gamma$ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΓA, ἔστιν ἄρα ὡς ἡ BA πρὸς τὴν $A\Gamma$, οὕτως ἡ $A\Gamma$ πρὸς τὴν ΓB. ἡ AB ἄρα ἄκρον .καὶ μέσον λόγον τέτμηται κατὰ τὸ Γ· ὅπερ ἔδει ποιῆσαι.

---

1. ΛB] AB φ (non F). 2. AE] $\Delta\Theta$ corr. ex $A\Theta$ FV. 3. $\tau\tilde{\omega}$] $\tau\acute{o}$ F. 4. $\tau\tilde{\omega}$ ΛB] PBp; mutat. in $\tau\tilde{\eta}\varsigma$ AB m. 2 F; $\tau\tilde{\eta}\varsigma$ BA (supra est ras.) $\tau\tilde{\omega}$ ΛB V. 10. ΛZ] corr. ex AZ m. rec. F. 11. KE] in ras. m. 2 V. ἴσον δέ — 12: τοῦ EK] bis Bp et V mg. m. 2. 12. καί] supra m. 1 p (priore loco, in repetitione in textu est). προσκείσθω] Pp; om. BF; ἔστω V. 15. PBFVp. 16. ἄλλως] mg. Fp, iidem add. λε′ (in F del. m. rec.). 17. τὴν AB εὐθεῖαν FV. 20. ΓA]

uidatur, et adplicetur $AΛ$ deficiens figura $ΛB$, et rursus rectae AB adplicetur parallelogrammum AE deficiens figura EB simili et similiter posita quadrato dimidiae $ΛB$. dico, esse $AΛ > AE$.




nam quoniam $EB \sim ΛB$, circum eandem diametrum sunt [VI, 26]. eorum diametrus sit EB, et describatur figura [p. 161 not. 1]. et quoniam est $ΛZ = ΛΘ$, quoniam $ZH = HΘ$, erit $ΛZ > KE$. uerum $ΛZ = ΔΛ$ [I, 43]. quare etiam $ΔΛ > EK$. commune adiiciatur $KΔ$. ergo $AΛ > AE$; quod erat demonstrandum.

VI, 30.

Aliter.[1])

Sit data recta AB. oportet igitur rectam AB secundum rationem extremam et mediam secare.

secetur enim AB in $Γ$ ita, ut sit



$$AB \times BΓ = ΓA^2 \text{ [II, 11].}$$

iam quoniam $AB \times BΓ = ΓA^2$, erit [VI, 17]

$$BA : AΓ = AΓ : ΓB.$$

itaque AB in $Γ$ secundum extremam et mediam rationem secta est; quod oportebat fieri.

---

1) Habet Campanus VI, 29: „idem etiam potest demonstrari ex 11 secundi.“

A e corr. F; $AΓ$ P. 22. BA] AB P. 23. ἄρα] om. B ἄρα AB V.

VI, 31.

Ἄλλως.

Ἐπεὶ τὰ ὅμοια σχήματα ἐν διπλασίονι λόγῳ ἐστὶ τῶν ὁμολόγων πλευρῶν, τὸ ἀπὸ τῆς ΒΓ ἄρα εἶδος πρὸς τὸ ἀπὸ τῆς ΒΑ εἶδος διπλασίονα λόγον ἔχει ἥπερ ἡ ΓΒ πρὸς τὴν ΒΑ. ἔχει δὲ καὶ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον διπλασίονα λόγον ἥπερ ἡ ΓΒ πρὸς τὴν ΒΑ. καὶ ὡς ἄρα τὸ ἀπὸ τῆς ΓΒ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΒΑ εἶδος, οὕτως τὸ ἀπὸ τῆς ΓΒ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΒΑ τετράγωνον. διὰ τὰ αὐτὰ δὴ καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὸ ἀπὸ τῆς ΓΑ εἶδος, οὕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὸ ἀπὸ τῆς ΓΑ τετράγωνον. ὥστε καὶ ὡς τὸ ἀπὸ τῆς ΒΓ εἶδος πρὸς τὰ ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδη, οὕτως τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον πρὸς τὰ ἀπὸ τῶν ΒΑ, ΑΓ τετράγωνα. ἴσον δὲ τὸ ἀπὸ τῆς ΒΓ τετράγωνον τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ τετραγώνοις. ἴσον ἄρα καὶ τὸ ἀπὸ τῆς ΒΓ εἶδος τοῖς ἀπὸ τῶν ΒΑ, ΑΓ εἴδεσι τοῖς ὁμοίοις [τε] καὶ ὁμοίως ἀναγραφομένοις [ὅπερ ἔδει δεῖξαι].

VI, 33.

Λέγω, ὅτι καὶ ὡς ἡ ΒΓ περιφέρεια πρὸς τὴν ΕΖ περιφέρειαν, οὕτως ὁ ΗΒΓ τομεὺς πρὸς τὸν ΘΕΖ τομέα.

---

1. PBFVp. 3. λξ′ Fp. ἐστί] εἰσί V. 5. ἔχῃ φ. 6. ΓΒ] in ras. V m. 2. 7. τό] τήν φ. 8. ΓΒ] mut. in ΒΓ m. 2 V. ΒΑ. καί] ΒΓ φ (non F). 9. ΓΒ] in ras. m. 2 V, ΓΑ φ (non F). εἶδος — 10: ΓΒ] mg. m. 1 F. 10. εἶδος] om. V. ΓΒ] in ras. m. 2 V. 11. δή] om. P. 12. εἶδος] (alt.) om. V. 13. ΒΓ] e corr. m. 1 p. 14. ΓΑ] e corr.

VI, 31.

Aliter.[1])

Quoniam similes figurae in duplicata ratione sunt laterum correspondentium [VI, 20] figura in $B\Gamma$ descripta ad figuram in BA descriptam duplicatam rationem habebit quam $\Gamma B : BA$. uerum etiam quadratum in $B\Gamma$ descriptum ad quadratum in BA descriptum duplicatam rationem habebit quam ΓB ad BA. quare etiam figura in ΓB descripta ad figuram in BA descriptam eandem rationem habebit quam $\Gamma B^2 : BA^2$. eadem de causa etiam figura in $B\Gamma$ descripta ad figuram in ΓA descriptam eandem rationem habebit quam $B\Gamma^2 : \Gamma A^2$. quare etiam ut figura in $B\Gamma$ descripta ad figuras in BA, $A\Gamma$ descriptas, ita erit

$$B\Gamma^2 : BA^2 + A\Gamma^2.$$

uerum $B\Gamma^2 = BA^2 + A\Gamma^2$ [I, 47]. ergo etiam figura in $B\Gamma$ descripta aequalis est figuris in BA, $A\Gamma$ similibus et similiter descriptis; quod erat demonstrandum.

VI, 33.[2])

Dico, esse etiam

arc. $B\Gamma$: arc. EZ = sect. $HB\Gamma$: sect. ΘEZ.

---

1) U. fig. VI, 31.

2) Additamentum est Theonis post finem VI, 33; u. ibid. not.

---

m. 1 p. ὡς] insert. m. 1 p. 15. εἴδη] εἶδος φ (non F). 16. τετράγωνα] τετράγων̄ F, τετράγωνον φ. 19. εἴδεσιν BFp. τοῖς] om. Bp. 20. τε] om. BFVp. ὅπερ ἔδει δεῖξαι] om. BFVp. 21. BFVp, P mg. m. rec. 22. μ΄ mg. p. καί] om. p. 23. ΘEZ] litt. EZ in ras. m. 1 V.

Ἐπεζεύχθωσαν γὰρ αἱ ΒΓ, ΓΚ. καὶ ληφθέντων ἐπὶ τῶν ΒΓ, ΓΚ περιφερειῶν τῶν Ξ, Ο σημείων ἐπεζεύχθωσαν καὶ αἱ ΒΞ, ΞΓ, ΓΟ, ΟΚ.

Καὶ ἐπεὶ δύο αἱ ΒΗ, ΗΓ δυσὶ ταῖς ΓΗ, ΗΚ ἴσαι εἰσὶ καὶ γωνίας ἴσας περιέχουσιν, καὶ βάσις ἡ ΒΓ τῇ ΓΚ ἐστιν ἴση, ἴσον ἄρα [ἐστὶ] καὶ τὸ ΗΒΓ τρίγωνον τῷ ΗΓΚ τριγώνῳ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΓ περιφέρεια τῇ ΓΚ περιφερείᾳ, καὶ ἡ λοιπὴ εἰς τὸν ὅλον κύκλον περιφέρεια ἴση ἐστὶ τῇ λοιπῇ εἰς τὸν ὅλον κύκλον περιφερείᾳ· ὥστε καὶ γωνία ἡ ὑπὸ ΒΞΓ τῇ ὑπὸ ΓΟΚ ἐστιν ἴση· ὅμοιον ἄρα ἐστὶ τὸ ΒΞΓ τμῆμα τῷ ΓΟΚ τμήματι. καί εἰσιν ἐπὶ ἴσων εὐθειῶν τῶν ΒΓ, ΓΚ. τὰ δὲ ἐπὶ ἴσων εὐθειῶν ὅμοια τμήματα κύκλων ἴσα ἀλλήλοις εἰσίν· ἴσον ἄρα ἐστὶ τὸ ΒΞΓ τμῆμα τῷ ΓΟΚ τμήματι. ἔστι δὲ καὶ τὸ ΗΒΓ τρίγωνον τῷ ΗΓΚ τριγώνῳ ἴσον· καὶ ὅλος ἄρα ὁ ΒΗΓ τομεὺς ὅλῳ τῷ ΗΓΚ τομεῖ ἴσος ἐστίν. διὰ τὰ αὐτὰ δὴ καὶ ὁ ΗΚΛ τομεὺς ἑκατέρῳ τῶν ΗΒΓ, ΗΓΚ ἴσος ἐστίν. οἱ τρεῖς ἄρα τομεῖς οἱ ΗΒΓ, ΗΓΚ, ΗΛΚ ἴσοι ἀλλήλοις εἰσίν. διὰ τὰ αὐτὰ δὴ καὶ οἱ ΘΕΖ, ΘΖΜ, ΘΜΝ τομεῖς ἴσοι ἀλλήλοις εἰσίν. ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΛΒ περιφέρεια τῆς ΒΓ περιφερείας, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΗΒΛ τομεὺς τοῦ ΗΒΓ τομέως. διὰ τὰ αὐτὰ δὴ καὶ ὁσαπλασίων

---

2. Ante *ἐπί* del. *τῶν* p. *ΓΚ*] *Γ* corr. ex *Κ* m. 1 p. 4. *ΗΚ*] *Κ* e corr. m. 2 V. 5. *εἰσίν* BF. *περιέχουσι* PFp; *περιέχουσαι* V, corr. m. 2. 6. *ἐστί*] om. BVp, insert. m. 1 F. *ΒΗΓ* P. 7. Post *τριγώνῳ* add. Bp: *καὶ ἡ ΒΓ περιφέρεια τῇ ΓΚ περιφερείᾳ.* 8. *ἡ λοιπή*] F; *λοιπή* Bp; *ἡ λοιπὴ ἡ* PV. 9. *ὅλον*] *ΑΒΓ* PV. *ἴση*] *ἡ ΚΑΓ ἴση* F. *ἐστί*] om. P, *ἐστίν* B. *τῇ*] om. V. *λοιπῇ*] om. P; *λοιπῇ τῇ* V. 10. *ὅλον*] Bp, *αὐτὸν ΑΒΓ* PV, om. F. *ὥστε*] post ras. 1 litt. V, *τῇ ΓΑΒ· ὥστε* F. 11. *γωνίᾳ τῇ* V. 13. *ΓΚ*] *ΚΓ* m. 2 V.

Ducantur enim $B\Gamma$, ΓK[1]), et in arcubus $B\Gamma$, ΓK sumptis punctis Ξ, O ducantur etiam $B\Xi$, $\Xi\Gamma$, ΓO, OK. et quoniam $BH = HK$ et $H\Gamma = H\Gamma$, et aequales angulos comprehendunt, et $B\Gamma = \Gamma K$ [III, 29], erit etiam $\triangle HB\Gamma = H\Gamma K$ [I, 4]. et quoniam

$$\text{arc. } B\Gamma = \text{arc. } \Gamma K,$$

erit etiam arc. $BA\Gamma =$ arc. ΓAK. quare etiam

$$\angle B\Xi\Gamma = \angle \Gamma OK \text{ [III, 27].}$$

ergo segmentum $B\Xi\Gamma$ simile est segmento ΓOK [III def. 11]. et in aequalibus sunt rectis $B\Gamma$, ΓK. quae autem in aequalibus rectis sunt segmenta circulorum similia, inter se aequalia sunt [III, 24]. ergo

$$\text{segm. } B\Xi\Gamma = \text{segm. } \Gamma OK.$$

uerum etiam $\triangle HB\Gamma = \triangle H\Gamma K$. itaque

$$\text{sect. } BH\Gamma = \text{sect. } H\Gamma K.$$

eadem de causa etiam sect. $HK\Lambda =$ sect. $HB\Gamma =$ sect. $H\Gamma K$. itaque tres sectores $HB\Gamma$, $H\Gamma K$, $H\Lambda K$ inter se aequales sunt. eadem de causa etiam sectores ΘEZ, ΘZM, ΘMN inter se aequales sunt. itaque quoties arcus ΛB multiplex est arcus $B\Gamma$, toties etiam sector $HB\Lambda$ sectoris $HB\Gamma$ multiplex est. eadem de

1) U. fig. VI, 33.

δέ] δ' F. 14. ἀλλήλοις] -λοις in ras. F. ἐστίν F. 15. $HB\Gamma$] HB in ras. m. 2 V. 16. -γωνον τῷ $H\Gamma K$ τριγώνῳ ἴσον in ras. m. 2 F. 17. $BH\Gamma$] $HB\Gamma$ P, V m. 2. $HK\Gamma$ P, V m. 2. ἐστί BV, comp. Pp. 18. $HB\Gamma$, $H\Gamma K$] prius Γ et K e corr. m. 2 V, $B\Gamma$, HK Bp. 19. ἐστί V. οἱ] (alt.) ὁ P. $HB\Gamma$] HB corr. ex BH V m. 2, in ras. F. $H\Gamma K$] $H\Gamma$ corr. ex ΓH m. 2 V. 20. $H\Lambda K$] $KHK\Lambda$ P, $HK\Lambda$ corr. ex $KH\Lambda$ m. 2 V. εἰσί Vp. διά — 21: εἰσίν] om. P. 20. οἱ] corr. ex ὁ m. 1 F. 21. ΘZM] M insert. m. 1 F. 22. ΛB] Λ in ras. V. $B\Gamma$] in ras. m. 2 V. 23. $HB\Lambda$] B add. m. recentiss. P; $H\Lambda B$ Bp, V in ras. m. 2.

ἐστὶν ἡ NE περιφέρεια τῆς EZ περιφερείας, τοσαυταπλασίων ἐστὶ καὶ ὁ ΘEN τομεὺς τοῦ ΘEZ τομέως. εἰ ἄρα ἴση ἐστὶν ἡ $B\Lambda$ περιφέρεια τῇ EN περιφερείᾳ, ἴσος ἐστὶ καὶ ὁ $BH\Lambda$ τομεὺς τῷ $E\Theta N$ τομεῖ, καὶ εἰ ὑπερέχει ἡ $B\Lambda$ περιφέρεια τῆς EN περιφερείας, ὑπερέχει καὶ ὁ $BH\Lambda$ τομεὺς τοῦ ΘEN τομέως, καὶ εἰ ἐλλείπει, ἐλλείπει. τεσσάρων δὴ ὄντων μεγεθῶν δύο μὲν τῶν $B\Gamma$, EZ περιφερειῶν, δύο δὲ τῶν $HB\Gamma$, $E\Theta Z$ τομέων εἴληπται ἰσάκις πολλαπλάσια τῆς μὲν $B\Gamma$ περιφερείας καὶ τοῦ $HB\Gamma$ τομέως ἥ τε $B\Lambda$ περιφέρεια καὶ ὁ $HB\Lambda$ τομεύς, τῆς δὲ EZ περιφερείας καὶ τοῦ ΘEZ τομέως ἰσάκις πολλαπλάσια ἥ τε EN περιφέρεια καὶ ὁ ΘEN τομεύς· καὶ δέδεικται, ὅτι εἰ ὑπερέχει ἡ $B\Lambda$ περιφέρεια τῆς EN περιφερείας, ὑπερέχει καὶ ὁ $BH\Lambda$ τομεὺς τοῦ $E\Theta N$ τομέως, καὶ εἰ ἴση, ἴσος, καὶ εἰ ἐλλείπει, ἐλλείπει. ἔστιν ἄρα ὡς ἡ $B\Gamma$ περιφέρεια πρὸς τὴν EZ, οὕτως ὁ $HB\Gamma$ τομεὺς πρὸς τὸν ΘEZ τομέα.

[*Πόρισμα.*]

Καὶ δῆλον, ὅτι καὶ ὡς ὁ τομεὺς πρὸς τὸν τομέα, οὕτως καὶ ἡ γωνία πρὸς τὴν γωνίαν.

Uulgo VII, 20.

Ἐὰν τρεῖς ἀριθμοὶ ἀνάλογον ὦσιν, ὁ ὑπὸ τῶν ἄκρων ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ μέσου. καὶ ἐὰν ὁ ὑπὸ

---

1. *τοσαυταπλάσιος* PBp. 3. *περιφερείᾳ*] om. V. 4. *ΕΘΝ*] BFp, *ΕΘΗ* φ et e corr. PV. 5. *ΒΛ*] *Β* eras. B. 6. *ΒΗΛ*] *ΒΗ* in ras. m. 2 V, *ΗΒΛ* P. *ΘΕΝ*] *ΕΘΝ* Fp. 7. *δή*] *δέ* p. 8. *μέν*] m. 2 F. 10. *ΒΓ*] *Β* e corr. m. 1 p. 12. *πολλαπλάσιον* V. 13. *εἰ*] corr. ex *ἡ* V m. 2. 14. *ΒΛ*]

causa etiam quoties arcus NE multiplex est arcus EZ, toties etiam sector ΘEN sectoris ΘEZ multiplex est. ergo si arc. $B\Lambda =$ arc. EN, erit sect. $BH\Lambda =$ sect. $E\Theta N$, et si arc. $B\Lambda >$ arc. EN, erit sect. $BH\Lambda >$ sect. ΘEN, et si arc. $B\Lambda <$ arc. EN, erit etiam sect. $BH\Lambda <$ sect. $E\Theta N$. datis igitur quattuor magnitudinibus duobus arcubus $B\Gamma$, EZ et duobus sectoribus $HB\Gamma$, $E\Theta Z$, arcus $B\Gamma$ et sectoris $HB\Gamma$ sumpti sunt aeque multiplices arcus $B\Lambda$ et sector $HB\Lambda$, arcus autem EZ et sectoris ΘEZ aeque multiplices arcus EN et sector ΘEN. et demonstratum est, si arc. $B\Lambda >$ arc. EN, esse etiam sect. $BH\Lambda >$ sect. $E\Theta N$, si aequalis sit, aequalem, si minor, minorem. ergo arc. $B\Gamma$: arc. $EZ =$ sect. $HB\Gamma$: sect. ΘEZ [V def. 5]. — Corollarium. — et adparet, esse etiam, ut sector ad sectorem, ita angulum ad angulum.[1])

Uulgo VII, 20.

Si tres numeri proportionales sunt, productum extremorum aequale est quadrato medii. et si productum extremorum aequale est quadrato medii, tres numeri illi proportionales sunt.

---

1) Hoc corollarium, quod e genuina propositione Euclidis facile deriuatur, iam a Zenodoro usurpatur (ap. Theonem in Ptolem. p. 12 ed. Basil.: *ὡς δ' ὁ τομεὺς πρὸς τὸν τομέα, ἡ ὑπὸ ΕΘΛ γωνία πρὸς τὴν ὑπὸ ΜΘΛ*), nisi ibi Theon ipse p. 12, 4 sq. addidit.

Λ in ras. m. 2 V. 16. *ἴσος*] *ἴση* V. 18. ΘEZ] ΘE P. 19. *πόρισμα*] om. PBFVp. 22. FVp, B mg. m. 1, P mg. m. rec. *κ΄* FVp. 24. *ὁ*] supra P.

τῶν ἄκρων ἴσος ᾖ τῷ ἀπὸ τοῦ μέσου, οἱ τρεῖς ἀριθμοὶ ἀνάλογόν εἰσιν. ἔστωσαν τρεῖς ἀριθμοὶ ἀνάλογον οἱ *A*, *B*, *Γ*, ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *B* πρὸς τὸν *Γ*. λέγω, ὅτι ὁ ἐκ τῶν *A*, *Γ* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *B*. κείσθω γὰρ τῷ *B* ἴσος ὁ *Δ*. ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *Γ*. ὁ ἄρα ἐκ τῶν *A*, *Γ* ἴσος ἐστὶ τῷ ἐκ τῶν *B*, *Δ*. ὁ δὲ ἐκ τῶν *B*, *Δ* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *B*· ἴσος γὰρ ὁ *B* τῷ *Δ*. ὁ ἄρα ἐκ τῶν *A*, *Γ* ἴσος τῷ ἀπὸ τοῦ *B*.

Ἀλλὰ δὴ ὁ ἐκ τῶν *A*, *Γ* ἴσος ἔστω τῷ ἀπὸ τοῦ *B*. λέγω, ὅτι ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *B* πρὸς τὸν *Γ*. ἐπεὶ γὰρ ὁ ἐκ τῶν *A*, *Γ* ἴσος ἐστὶ τῷ ἀπὸ τοῦ *B*, ὁ δὲ ἀπὸ τοῦ *B* ἴσος τῷ ὑπὸ [τῶν] *B*, *Δ*, ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *Δ* πρὸς τὸν *Γ*. ἴσος δὲ ὁ *B* τῷ *Δ*. ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *B* πρὸς τὸν *Γ*· ὅπερ ἔδει δεῖξαι.

Uulgo VII, 22.


Ἐὰν ὦσι τρεῖς ἀριθμοὶ καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος σύνδυο λαμβανόμενοι καὶ ἐν τῷ αὐτῷ λόγῳ, ᾗ δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, καὶ δι' ἴσου ἐν τῷ αὐτῷ λόγῳ ἔσονται.

Ἔστωσαν τρεῖς ἀριθμοὶ οἱ *A*, *B*, *Γ* καὶ ἄλλοι αὐτοῖς ἴσοι τὸ πλῆθος οἱ *Δ*, *E*, *Z* σύνδυο λαμβανόμενοι ἐν τῷ αὐτῷ λόγῳ, ἔστω δὲ τεταραγμένη αὐτῶν ἡ ἀναλογία, ὡς μὲν ὁ *A* πρὸς τὸν *B*, οὕτως ὁ *E* πρὸς τὸν *Z*, ὡς δὲ ὁ *B* πρὸς τὸν *Γ*, οὕτως ὁ *Δ* πρὸς τὸν *E*. λέγω, ὅτι καὶ δι' ἴσου ἐστὶν ὡς ὁ *A* πρὸς τὸν *Γ*, οὕτως ὁ *Δ* πρὸς τὸν *Z*.

---

2. οἱ τρεῖς FV. ἀνάλογοι p. 3. οἱ] ὁ BFV. ὁ *B*]

Sint tres numeri proportionales A, B, Γ, ita ut sit $A : B = B : \Gamma$. dico, esse $A \times \Gamma = B^2$. pona-



tur enim $\Delta = B$. est igitur $A : B = \Delta : \Gamma$. itaque $A \times \Gamma = B \times \Delta$ [VII, 19]. sed $B \times \Delta = B^2$; nam $B = \Delta$. ergo $A \times \Gamma = B^2$.

Iam uero sit $A \times \Gamma = B^2$. dico, esse $A : B = B : \Gamma$.

Nam quoniam $A \times \Gamma = B^2$, et $B^2 = B \times \Delta$, erit [VII, 19] $A : B = \Delta : \Gamma$. sed $B = \Delta$. ergo $A : B = B : \Gamma$; quod erat demonstrandum.

Uulgo VII, 22.

Si tres numeri dati sunt et alii iis multitudine aequales, duo simul coniuncti et in eadem ratione, et proportio eorum perturbata est, etiam ex aequo in eadem ratione erunt.

Dati sint tres numeri A, B, Γ et alii iis multitudine aequales Δ, E, Z, duo simul coniuncti in eadem ratione, et proportio eorum perturbata sit, ita ut sit $A : B = E : Z$ et $B : \Gamma = \Delta : E$. dico, etiam ex aequo esse $A : \Gamma = \Delta : Z$.

ὁ *δεύτερος* supra scr. β P. 4. ὁ] supra P. 7. *ἐστίν* V, comp. B. *ἐκ τῶν*] *ἀπὸ τοῦ* p. 8. *ἐστίν* V, comp. B. *γάρ*] corr. ex *ἄρα* V. 9. *ἴσος ἐστί* FV. 10. *ἔστω*] *ἐστι* comp. p. 12. *γρ. ὑπὸ EΔ* mg. F. 13. *ἴσος ἐστί* FV. *ὑπό*] *ἀπό* p, om. B. *τῶν*] *τοῦ* p, om. BFV. 14. *B*] (prius) *A*F, *Γ*B. 16. *ὅπερ ἔδει δεῖξαι*] om. Pp. 17. BFVp, P mg. m. rec., add. a Theone post VII, 20. *κβ′* PBFVp. 19. *ὧσιν* FV. 25. *καὶ ἐν* P. 29. *τὸν Γ*] corr. ex *τὸ Γ* V.

Ἐπεὶ γάρ ἐστιν ὡς ο *A* πρὸς τὸν *B*, οὕτως ὁ *E* πρὸς τὸν *Z*, ὁ ἄρα ἐκ τῶν *A*, *Z* ἴσος ἐστὶ τῷ ἐκ τῶν *B*, *E*. πάλιν ἐπεί ἐστιν ὡς ὁ *B* πρὸς τὸν Γ, οὕτως ὁ *Δ* πρὸς τὸν *E*, ὁ ἄρα ἐκ τῶν *Δ*, Γ ἴσος ἐστὶ τῷ ἐκ τῶν *B*, *E*. ἐδείχθη δὲ καὶ ὁ ἐκ τῶν *A*, *Z* ἴσος τῷ ἐκ τῶν *B*, *E*. καὶ ὁ ἐκ τῶν *A*, *Z* ἄρα ἴσος ἐστὶ τῷ ἐκ τῶν *Δ*, Γ. ἔστιν ἄρα ὡς ὁ *A* πρὸς τὸν Γ, οὕτως ὁ *Δ* πρὸς τὸν *Z*· ὅπερ ἔδει δεῖξαι.

VII, 31.

Ἄλλως.

Ἔστω σύνθετος ἀριθμὸς ὁ *A*. λέγω, ὅτι ὑπὸ πρώτου τινὸς ἀριθμοῦ μετρεῖται. ἐπεὶ γὰρ σύνθετός ἐστιν ὁ *A*, μετρηθήσεται ὑπὸ ἀριθμοῦ, καὶ ἔστω ἐλάχιστος τῶν μετρούντων αὐτὸν ὁ *B*. λέγω, ὅτι ὁ *B* πρῶτός ἐστιν. εἰ γὰρ μή, σύνθετός ἐστιν. μετρηθήσεται ἄρα ὑπὸ ἀριθμοῦ τινος. μετρείσθω ὑπὸ τοῦ Γ. ὁ Γ ἄρα τοῦ *B* ἐλάσσων ἐστίν. καὶ ἐπεὶ ὁ Γ τὸν *B* μετρεῖ, ἀλλ' ὁ *B* τὸν *A* μετρεῖ, καὶ ὁ Γ ἄρα τὸν *A* μετρεῖ ἐλάσσων ὢν τοῦ *B*· ὅπερ ἄτοπον. οὐκ ἄρα ὁ *B* σύνθετός ἐστι. πρῶτος ἄρα· ὅπερ ἔδει δεῖξαι.


Scholium ad VII, 39.

Τοῦ λθ′. πολλῶν ἀριθμῶν ὄντων καὶ ἐχόντων τὰ

---

2. τῷ ἐκ] τῷ ὑπό FV. 3. ὡς] om. p. 4. *Δ*, Γ] Γ, *Δ* B. 5. ὁ ἐκ] ὁ p. 6. καί] om. p. ὁ] ὁ ἄρα FV. ἄρα] om. FV. 9. BVpφ. ante prop. 31; add. Theon. 10. ἄλλως] om. p, ἄλλως τὸ λβ τὸ ἑξῆς B mg. m. 1. 11. ἔστω — 13: ἐστιν ὁ *A*] om. p. 13. καί] τινος· μετρείσθω, καί B. ἔστω ὁ p. 15. σύνθετός ἐστιν] ἐστιν ὁ *B* πρῶτος Bφ, V in ras. 16. ἄρα] om. B. ὑπὸ τοῦ Γ] in ras. V, seq. ras. magna. 17. ἐστίν] ἐστί Vφ, comp. p. 18. ἀλλά Vφ. 20. ὅπερ ἔδει δεῖξαι] om. Bp. 21. Post

Nam quoniam est $A : B = E : Z$, erit



$A \times Z = B \times E$ [VII, 19]. rursus quoniam est $B : \Gamma = \Delta : E$, erit $\Delta \times \Gamma = B \times E$ [id.]. demonstratum est autem, esse etiam $A \times Z = B \times E$. quare etiam $A \times Z = \Delta \times \Gamma$. ergo erit

$$A : \Gamma = \Delta : Z \text{ [VII, 19]};$$

quod erat demonstrandum.

VII, 31.

Aliter.

Sit numerus compositus A. dico, primum numerum eum metiri.

Nam quoniam A compositus est, numerus aliquis eum metietur, et minimus eorum, qui eum metiuntur, sit B. dico, numerum B primum esse. nam si mi-



nus, compositus est. itaque numerus aliquis eum metietur. metiatur numerus Γ. itaque $\Gamma < B$. et quoniam Γ numerum B metitur, B autem numerum A metitur, etiam Γ numerum A metitur, quamquam $\Gamma < B$; quod absurdum est. itaque B compositus non est. ergo primus; quod erat demonstrandum.

Scholium ad VII, 39.

Propositionis XXXIX.[1]) Cum multi numeri sint,

1) Ergo hoc scholium scriptum est ante VII, 20 et 22 interpolatas.

titulum libri VIII V φ p (in V in spatio uacuo inter libb. VII et VIII postea insert.). 22. α' p (qui numeros propp. libri VIII uno maiores deinceps habet).

αὐτα μέρη, οἷον εἰ τίχοι δίδοσθαι ϛ′ γ′ δ′ ε′, εὑρεῖν τον ἐλάχιστον ἀριθμὸν πάντων τῶν τὰ αὐτὰ μέρη ἐχόντων αὐτοῖς. ἀριθμὸν ειρεῖν, ὃς ἐλάχιστος ὢν ἕξει τὰ δοθέντα μέρη τὸ ϛ′ γ′ δ′ ε′ ϛ′ ζ′ η′ θ′ ι′ ια′ ιβ′ καὶ εἰς ἄπειρον. δεῖ οὖν λαβεῖν τοὺς ὁμωνύμους αὐτῶν ἀριθμούς, τουτέστι τοῦ μὲν ἥμισυ το $\overline{\alpha}$, τοῦ δὲ γ′ τα $\overline{\gamma}$, τοῦ δὲ δ′ τα $\overline{\delta}$ καὶ ε′ καὶ $\overline{\text{ϛ}}$ καὶ $\overline{\zeta}$ $\overline{\eta}$ $\overline{\vartheta}$ $\overline{\iota}$ $\overline{\iota\alpha}$ $\overline{\iota\beta}$ καὶ πολλαπλασιάσαι τον $\overline{\alpha}$ ἐπὶ τα $\overline{\gamma}$· γίνονται $\overline{\gamma}$· τα $\overline{\gamma}$ ἐπὶ τὰ $\overline{\delta}$· γίνονται $\overline{\iota\beta}$· τὰ $\overline{\iota\beta}$ ἐπὶ τα $\overline{\varepsilon}$· γίνονται $\overline{\xi}$· τα $\overline{\xi}$ ἐπὶ τα $\overline{\text{ϛ}}$· γίνονται $\overline{\beta\varphi\kappa}$· οὗτος ἔχει τα $\overline{\iota}$ μέρη το ϛ′ γ′ δ′ ε′ ϛ′ καὶ τα λοιπά. πάλιν αὐτον πολλαπλασιάσαι ἐπὶ τον $\overline{\iota\bar{\alpha}}$· γίνονται $\overline{\mu^{\upsilon}\beta}$ $\overline{\xi\psi\kappa}$· οὗτος ὁ ἀριθμὸς ἔχει τα δοθέντα μέρη το ϛ′ γ′ δ′ ε′ ϛ′ ζ′ η′ θ′ ι′ ια′ ιβ′. ἐπὶ πάντων τῶν διδομένων οὕτως δεῖ πολλαπλασιάζειν καὶ εὑρίσκειν τὸν ἀριθμον τον ἐλάχιστον ἔχοντα ταῦτα τα μέρη.

IX init.

Εὑρίσκομεν τὸν συγκείμενον λόγον ἐκ λόγων διὰ ε′ τοῦ η′· τὴν δὲ διαίρεσιν τοῦ λόγου εὑρίσκομεν οὕτως· ἔστω ο *A* τοῦ *B* διπλοῦς, καὶ ἀπ᾽ αὐτοῦ ἀφελεῖν τριπλοῦν. ἔστω ὁ *A Γ* τριπλοῦς. λοιπος ἄρα ὁ *Γ B*. λέγω, ὅτι ὁ *Γ B* ἡμιόλιός ἐστιν. μη

---

1. τύχῃ p. ϛ′] $\overline{\text{ϛ}}$ p. 2. ἀριθμόν] comp. V; καί φ. τῶν] τόν φ. αὐτά] $\dot{\eta}\,\ddot{-}$ V φ. 3. ἔχοντα φ. ἀριθμόν] comp. V; καί φ. ὅς] ὡς V φ. 4. τό] τά p. ϛ′] in ras. m. 1 p. 6. αὐτῶν] $\dot{\eta}$ τῶν V φ. 7. $\overline{\alpha}$] πρῶτον Vpφ. καὶ ϛ καί] τὰ $\overline{\varepsilon}$ καὶ τὰ $\overline{\text{ϛ}}$ p. 8. $\overline{\iota}$] om. V φ. πολλαπλασιάσας Vpφ. $\overline{\alpha}$] πρῶτον Vpφ. 9. $\overline{\gamma}$] τρία Vpφ. γίνονται] semper comp. Vφ, γίνεται p. $\overline{\gamma}$ τά] τρία· τά p. $\overline{\gamma}$] τρία p. γίνεται p. $\overline{\iota\beta}$] (prius) ιζ φ. 10. γίνονται] (prius)

qui easdem partes habeant, uelut $^1/_2$ $^1/_3$ $^1/_4$ $^1/_5$, inuenire minimum numerum omnium, qui easdem partes habent.

numerum inuenire minimum, qui datas partes $^1/_2$ $^1/_3$ $^1/_4$ $^1/_5$ $^1/_6$ $^1/_7$ $^1/_8$ $^1/_9$ $^1/_{10}$ $^1/_{11}$ $^1/_{12}$ cett. habeat. oportet igitur numeros iis cognomines sumere, h. e. parti dimidiae numerum 1, tertiae 3, quartae 4, quintae 5 et 6, 7, 8, 9, 10, 11, 12; et multiplicare $1 \times 3 = 3$, $3 \times 4 = 12$, $12 \times 5 = 60$, $60 \times 6 = 360$, $360 \times 7 = 2520$, qui habet decem partes $^1/_2$ $^1/_3$ $^1/_4$ $^1/_5$ $^1/_6$ cett. rursus $2520 \times 11 = 27720$, qui habet datas partes $^1/_2$ $^1/_3$ $^1/_4$ $^1/_5$ $^1/_6$ $^1/_7$ $^1/_8$ $^1/_9$ $^1/_{10}$ $^1/_{11}$ $^1/_{12}$. in omnibus datis ita oportet multiplicare et numerum minimum inuenire, qui has habeat partes.

Scholium. IX init.[1])

Rationem ex rationibus compositam per VIII, 5 inuenimus, rationis autem diuisionem ita inuenimus.

Sit $A : B = 2 : 1$, et ab ea oporteat auferre $3 : 1$.[2]) sit $A : \Gamma = 3 : 1$. relinquitur igitur $\Gamma : B$. dico, esse $\Gamma : B = 2 : 3$. ne sit enim, sed si fieri potest, sit

1) Uidetur esse scholium ad VIII, 5.
2) H. e. 2 : 1 per 3 : 1 diuidere.

γίνεται p. 11. *,βφκ*] *μφη φ*. *οὕτως* V *φ*. *ι*] *δέκα* p. 12. *γ δ ε ς*'] *γγδ φ*. *πολλαπλασιάσας* V p *φ*. 13. *τόν*] *τῶν* p. *β ,ζψκ*] *μβψκ* p, *β γζψκ φ*. *οὗτος*] *οὗ τό* p. 15. *ι*] om. *φ*. *δεδομένων* p. 16. *ἀριθμόν*] comp. V, *καί φ*. *ἐλάττονα* V p *φ*. 18. V *φ* post titulum libri IX (in V in spatio uacuo inter libb. VIII et IX postea insert.).

γάρ, ἀλλ' εἰ δυνατόν, ἔστω διπλοῦς ὁ Γ τοῦ Β. ἔστι δὲ καὶ ο Α τοῦ Γ τριπλοῦς· γενήσεται ἄρα καὶ ὁ Α τοῦ Β ἑξαπλοῦς. ὑπόκειται δὲ διπλοῦς· ὅπερ ἄτοπον. οὐκ ἄρα ἔσται ὁ Γ τοῖ Β διπλοῦς. ὁμοίως δὴ δείξομεν, ὅτι οὐδ' ἄλλον λόγον ἔχει ὁ Β πρὸς τὸν Γ παρὲξ τοῦ ἡμιολίου.

IX, 22.

Ἄλλως.

Ἢ καὶ οὕτως· ἐπεὶ οὖν ὁ ΑΒ περιττός ἐστιν, ἀφῃρήσθω ἀπ' αὐτοῦ μονὰς ἡ ΖΒ· λοιπὸς ἄρα ὁ ΑΖ ἄρτιός ἐστιν. πάλιν ἐπεὶ ὁ ΒΓ περιττός ἐστιν, καί ἐστι μονὰς ἡ ΖΒ, ἄρτιος ἄρα ὁ ΖΓ. ἔστι δὲ καὶ ὁ ΑΖ ἄρτιος. καὶ ὅλος ἄρα ὁ ΑΓ ἄρτιός ἐστιν. διὰ τὰ αὐτὰ δη καὶ ὁ ΓΕ ἄρτιός ἐστιν. ὥστε καὶ ὅλος ὁ ΑΕ ἄρτιός ἐστιν.

---

4. ἄρα] πτι φ. διπλοῦς] τριπλοῦς V φ. 7. F solus post ἐστιν, ante ὅπερ p. 392, 13. 8. ἄλλως] om. F.

$\Gamma = 2B$. est autem etiam $A = 3\Gamma$. erit igitur $A = 6B$. sed supposuimus, esse $A = 2B$; quod absurdum est. ergo non erit $\Gamma = 2B$. similiter demonstrabimus, ne aliam quidem rationem habere B ad Γ praeter 2 : 3.

IX, 22.

Uel etiam ita: quoniam AB impar est, ab eo auferatur unitas ZB. itaque qui relinquitur, AZ par est. rursus quoniam $B\Gamma$ impar est, et unitas est ZB, par est $Z\Gamma$. uerum etiam AZ par est. itaque etiam totus $A\Gamma$ par est [IX, 21]. eadem de causa etiam ΓE par est. ergo etiam totus AE par est [IX, 21].[1])

1) De figura cfr. IX, 22.

Ex Biblioth.
Universitatis
Frider. Guil.
Berolin.

17. 2. 1906
7. 07
17. 11. 1907
10. 2. 10
4. 5. 12.
26. 5. 13
25. 8. 14
2 2.11.28.
23. SEP. 1949
4. Sep. 1957

7/11/89

Universitätsbibliothek der HU Berlin

00001100004449